Rapport sur un ouvrage intitulé: 'Antipanacée, ou des causes qui rendent en général difficiles à guérir ou même incurables, des maladies qui pourroient naturellement se guérir' / ouvrage écrit en grec littéral, par A. Georgiades.

Contributors

Bosquillon, M. 1744-1816.
Georgiades, A.

Publication/Creation

Paris : J.M. Eberhart, 1811.

Persistent URL

https://wellcomecollection.org/works/ux8a9dsj

License and attribution

This work has been identified as being free of known restrictions under copyright law, including all related and neighbouring rights and is being made available under the Creative Commons, Public Domain Mark.

You can copy, modify, distribute and perform the work, even for commercial purposes, without asking permission.

wellcome collection

Wellcome Collection
183 Euston Road
London NW1 2BE UK
T +44 (0)20 7611 8722
E library@wellcomecollection.org
https://wellcomecollection.org

T496
42580

ΑΠΑΓΓΕΛΙΑ

ΠΕΡΙ ΤΙΝΟΣ ΣΥΓΓΡΑΜΜΑΤΟΣ ΟΥ̃ Η ΕΠΙΓΡΑΦΗ·

ΑΝΤΙΠΑΝΑΚΕΙΑ.

RAPPORT

SUR UN OUVRAGE INTITULÉ:

ANTIPANACÉE.

496

ΑΠΑΓΓΕΛΙΑ

ΠΕΡΙ ΤΙΝΟΣ ΣΥΓΓΡΑΜΜΑΤΟΣ ΟΥ̓ Ἠ ΕΠΙΓΡΑΦΗ·

« ΑΝΤΙΠΑΝΑΚΕΙΑ,

» Ἠτοι περὶ τῶν αἰτίων, ἃ τὰς νόσους δυσιάτους ἢ ἀνιάτους, μὴ τοιαύτας
» καθ' ἑαυτὰς οὔσας, ὡς ἐπὶ τὸ πολὺ ἀπεργάζεται, ἐν τῇ ἀρχαίᾳ
» ἑλληνικῇ συγγραφέντος ὑπὸ ΑΝΑΣΤΑΣΙΟΥ ΓΕΩΡΓΙΑΔΟΥ Φιλιππου-
» πολίτου, Ἰατροῦ καὶ Χειρούργου, καὶ τῆς ἐν Ἰένῃ Ἑταιρίας
» τῶν Ὀρυκτολόγων, οὐ μὴν ἀλλὰ καὶ τῆς ἐν Ἅλῃ τῶν τῆς φύσεως
» Περιέργων Μέλους ἀντεπιξέλλοντος,

ΕΙΣ ΤΗΝ ΤΩΝ ΕΝ ΠΑΡΙΣΙΟΙΣ ΤΗΣ ΙΑΤΡΙΚΗΣ ΖΗΛΩΤΩΝ ΕΤΑΙΡΙΑΝ ΓΑΛΛΙΣΤΙ ΑΠΑΓΓΕΛΘΕΙΣΑ, ΤἨ Ζ΄ ΑΥ̓ΓΟΎΣΤΟΥ ϡωιά.

Παρὰ τοῦ Κυρίου ΒΟΣΚΥΙΑΛΩΝΊΟΥ, Σοφοδιδασκάλου τῆς παλαιοτέρας σωτηριωδεσάτης Ἀκαδημίας τῆς ἐν Παρισίοις, τῆς Ἑλλάδος φωνῆς ἐν τῷ αὐτοκρατορικῷ τῶν Γάλλων συνεδρίῳ Διδασκάλου, καὶ τοῦ μεγάλου νοσοκομείου τοῦ ἐν Παρισίοις τακτοῦ Ἰατροῦ, καὶ πρὸς τούτοις τῶν ἰατρικῶν ἐν Παρισίοις καὶ ἐν Μονσπελίᾳ, καὶ ἐν Αἰδιμβούργῳ, καὶ ἐν Ἀμβιάνῳ ἑταιριῶν κοινωνοῦ,

ΚΑῚ ΕΠΕΙΤΑ ΥΠῸ ΤΟΥ̓ ΑΥ̓ΤΟΥ̓ ΑΠΑΓΓΕΛΤΉΡΟΣ ΕΙΣ ΤΗΝ ΕΛΛΆΔΑ ΦΩΝΗΝ, ΕΛΛΉΝΩΝ ΧΆΡΙΝ, ΜΕΤΑΦΡΑΣΘΕΙΣΑ.

Ἰατρὸς δ' ἕκαστος ἐπισάμενος, περὶ πάντων. Ὀδυσ. δ. στιχ. 231.

ΕΝ ΠΑΡΙΣΙΟΙΣ,

Παρὰ Ι. Μ. ΕΒΕΡΑΡΤΩ, τῷ τοῦ αὐτοκρατορικοῦ τῶν Γάλλων συνεδρίου τυπογράφῳ, ἐν τῇ ῥύμῃ τῇ καλουμένῃ du Foin S.-Jacques, nº 12.

ϡωιά.

RAPPORT

SUR UN OUVRAGE INTITULÉ:

» ANTIPANACÉE,

» Ou des causes qui rendent en général difficiles à guérir ou
» même incurables, des maladies qui pourroient naturel-
» lement se guérir: ouvrage écrit en grec littéral, par
» M. ANASTASE GEORGIADES, natif de Philippopolis, Docteur
» en Médecine et en Chirurgie d'Iéna, membre ordinaire
» de la Société minéralogique de la même ville, et associé
» correspondant des curieux de la nature de Hale,

FAIT EN FRANÇOIS A LA SOCIÉTÉ MÉDICALE D'ÉMULATION DE PARIS, le 5 août 1811,

PAR M. BOSQUILLON, Docteur régent de l'ancienne Faculté de Médecine de Paris, Professeur en Langue grecque au Collége impérial de France, Médecin ordinaire du grand hospice de Paris, membre des Sociétés de Médecine de Paris, de Montpellier, d'Edimbourg et d'Amiens,

ET TRADUIT PAR SON AUTEUR, EN FAVEUR DES GRECS, EN GREC LITTÉRAL.

Tout Médecin instruit est supérieur au reste des hommes.
ODYSS. IV. v. 231

A PARIS,

Chez J. M. EBERHART, imprimeur du Collége impérial de France, rue du Foin S.-Jacques, n. 12

1811.

Ἰατροὶ,

Εἴπερ καλόν τι σύγγραμμα περὶ τῆς οὕτω μὲν ἐπωφελοῦς, τοσούτων δὲ περιεκτικῆς τέχνης, τῆς ἰατρικῆς δηλονότι, ἐν Γαλλίᾳ, ἢ ἐν ἄλλῳ τινι τῶν εὐτυχῶν τόπων, ὅπου τὰ γράμματα καὶ αἱ ἐπιστῆμαι μεγίσταις τιμαῖς τιμῶνται, ἐφιλοπονεῖτο, ἀπεδώκαμεν ἂν τῷ ἐκείνου συγγραφεῖ, μηδοτιοῦν ἐκπλαγέντες, τὸν εὔλογον καὶ δίκαιον ἔπαινον. Εἰ δ' ἐν ἔθνει ὑπὸ τῆς μακρᾶς παντελῶς διεφθαρμένῳ τυραννίδος, ἐξ οὗ τὰ τῆς παιδείας ἀείφυγίαν πως ὑπὸ τοῦ δεινοτάτου δεσποτισμοῦ φεύγειν ἐζημιώθησαν· εἰ ἔν τινι δὴ ἐπαρχίᾳ φημὶ τῆς Τουρκίας, ἀνήρ τις πάντα ταῦτα ὑπερβὰς τὰ κωλύματα, πραγματείαν πολυτίμων ἐξετάσεων, καὶ λαμπρῶν διανοιῶν ἔμπλεω συνέγραφεν, ἆρ' οὐχ ἡμᾶς ἐχρῆν τότε ὑπολαμβάνειν μὴ μόνον τιμᾶσθαι, ἀλλὰ καὶ θαυμάζεσθαι δικαίως πως ἐκεῖνον ὑπάρχειν ἄξιον; τῆς ἐκείνου δεινότητος τῆς ἐν ταῖς ἐπιστήμαις, μετεώρου δίκην ἐν μέσῳ τῆς νυκτὸς λάμποντος, τοσοῦτον ἂν μᾶλλον ἡμᾶς εἰς ἔκπληξιν καταστησαμένης, ὅσον καὶ ἡ ἀμάθεια, ἥπερ ἡ πατρὶς αὐτοῦ ἐκτήκεται, μείζων ὑπάρχει.

Τοιαῦτα μέντοι ἐστὶ τὰ συμβάντα χαλεπὰ τῷ ὑπὸ τοῦ ἔρωτος τῶν ἐπιστημῶν φλογισθέντι, καὶ ὑπ' ἄλλου τινὸς εὐγενεστέρου αἰσθήματος, τῆς φιλανθρωπίας δηλονότι, διεγερθέντι σοφῷ, ὃς ὑμῖν τὸ σύγγραμμα τόδε προσφέρει, τὸ καὶ διὰ τὰ ὑποκείμενα

MESSIEURS,

QU'UN bon ouvrage sur un art aussi important, aussi étendu que la médecine, eût été composé en France, ou dans l'une de ces contrées heureuses, qui comblent d'honneur les lettres et les sciences; sans en être étonnés, nous accorderions un juste tribut d'éloges à son auteur. Mais, s'il arrivoit qu'au milieu d'un peuple abruti par un long esclavage, d'où les connoissances sont en quelque sorte bannies par le despotime le plus dur, enfin, dans une province de la Turquie, un homme eût vaincu tous les obstacles et composé un traité rempli de précieuses recherches et d'idées lumineuses; alors nous penserions que cet homme mérite non-seulement notre estime; mais, j'ose le dire, qu'il auroit quelque droit à notre admiration; tel qu'un météore qui brille au sein de la nuit, ses talens nous frappent d'autant plus que l'ignorance où languit sa patrie est plus profonde.

Telles sont les circonstances difficiles dans lesquelles se trouve le savant enflammé de l'amour des sciences, et animé d'un sentiment plus noble encore, de l'amour de l'humanité, qui vient vous présenter

περὶ ὧν πραγματεύεται, καὶ διὰ τὰ εἰς ταύτην τὴν ἐπιχείρησιν παροτρύναντα αὐτὸν αἴτια ἐξίσης ἀξιομνημόνευτον (1).

Ὁ ἀνὴρ οὑτοσί, μετὰ τὸ ἐκδιδαχθῆναι ἐν τῷ γυμνασίῳ τῆς πατρίδος αὐτοῦ Φιλιππουπόλεως (πόλις δὲ αὕτη τῆς παλαιᾶς Θράκης ἐστι) τὴν ἀρχαίαν ἑλληνικὴν, τὰ ἐγκύκλια μαθήματα, καὶ τὴν φιλοσοφίαν, εἰς τὸ τοῦ Βουκουρεστίου (2), μείζονα προκοπὴν ἐν ἐκείναις ταῖς ἐπιστήμαις λαβεῖν ἐπιθυμῶν, παρεγένετο. Ἐκ ταύτης δὲ τῆς σχολῆς ὁ ἡμέτερος συγγραφεὺς ἐξελθὼν, εἰς τὴν ἐν Ἀουστρίᾳ Βιέννην ἀφίκετο, ἔνθα τὰ διάφορα τῆς ἰατρικῆς μέρη ἐκδιδαχθεὶς, ἐκεῖθεν τῇ ἐνδόξῳ ἀκαδημίᾳ τῆς Σαξονικῆς Ἰένης προσῆλθε, καὶ τούτων τῇδε τελεσθέντων, τῆς τοῦ ἰατροῦ καὶ χειρούργου, ἧς ἄξιον αὐτὸν αἱ ἴδιαι γνώσεις ἐποίουν, ἐντίμου τελευταῖον ἐπωνυμίας ἔτυχεν.

Ὁ ἡμέτερος συγγραφεὺς ὑπὸ εὐγενοῦς φιλοτιμίας διάπυρος ὢν, ἀντὶ τοῦ ἐκδοῦναι ἐν τῇ αὐτοῦ ἀναῤῥήσει, ὡς ἔθος ἐστι, διαλεξίν τινα περὶ τῶν ἰατρικῶν ὑποκειμένων, ὑπόθεσιν εὐρυτέραν καὶ ἐπαίνου ἀξιωτέραν ἐξελέξατο· σπουδαῖον γὰρ σύγγραμμα συνύφανε, τούς γε τὸ αὐτὸ σάδιον διατρέξειν μέλλοντας, ὁδηγῆσαι δυνάμενον. Εἰ καὶ τοῦτο μεγάλης ἐν

---

(1) Ἤδη τούτου τοῦ συγγράμματος εὔφημον μνείαν πολλαὶ ἰατρικαὶ ἐφημερίδες τῆς Γερμανίας ἐποιήσαντο, οἷον ἡ τοῦ Σαλσβούργου ἡ τοῦ Ἀλτεμβούργου, ἡ τῆς Ἅλης, καὶ ἡ τοῦ Βερολίνου.

(2) Ἀδύνατον τῷ τοῦτο ὀνομάσαντι μὴ οὐχὶ, μικρᾶς παρεκβάσεως γενομένης, τὸν προσήκοντα ἔπαινον τῇ μεγαλοψυχίᾳ καὶ γε νεότητι τοῦ ἀρχιερέως, πρώην Ἄρτης, νῦν δὲ Βουκουρεστίου, τοῦ σοφοῦ Ἰγνατίου, ἀποδοῦναι, ὃς, κατὰ τὸ παρελθὸν ἔτος, τὴν τοῦ Βουκουρεστίου σχολὴν ὑπὸ τὴν αὐτοῦ λαβὼν προστασίαν, καὶ Λύκειον ταύτην ἐπονομάσας, τὰ ἀναγκαῖα χρήματα εἴς τε τὴν τῶν διδασκάλων ἐν αὐτῇ διαμονὴν, καὶ τὴν τῶν μαθητῶν ἔφελξιν προσεπόρισε.

un ouvrage aussi intéressant pour les objets qui y sont traités que pour les motifs qui le lui ont fait entreprendre (1).

Ce savant, après avoir commencé à étudier le grec littéral, les belles-lettres et la philosophie, dans le gymnase de Philoppopolis, sa patrie, ville de l'ancienne Thrace, est venu se perfectionner dans celui de Bucherest (2); et sortant de cette école, il a été à Vienne en Autriche étudier les différentes branches de la médecine, et il est venu se perfectionner dans l'illustre université d'Iena en Saxe, où il a reçu le titre honorable dont ses connoissances le rendoient digne, celui de docteur en médecine et en chirurgie.

Notre auteur, enflammé d'une noble ambition, au lieu de publier, suivant l'usage, en recevant ce titre, une simple dissertation sur un sujet de médecine, a embrassé un plan beaucoup plus étendu et beaucoup plus digne d'éloge; il a composé un ouvrage capable de guider ceux qui entreprendront de parcourir la même carrière. Quoiqu'on y

---

(1) Plusieurs journaux de médecine Allemands ont déjà fait un rapport avantageux de cet Ouvrage; tels sont ceux de Saltzbourg, d'Altembourg, de Halle en Saxe, et de Berlin.

(2) On ne peut nommer ce gymnase sans accorder un juste tribut d'éloge à la magnificence et à la générosité d'Ignatius, autrefois archevêque d'Arta, aujourd'hui de Bucherest, qui, l'année dernière, a pris l'école de Bucherest sous sa protection, lui a donné le nom de Lycée, et fourni les fonds nécessaires pour y fixer des maîtres et y attirer des élèves.

ταῖς ἐπιστήμαις προκοπῆς, ἀκριβοῦς τε ἅμα διανοίας ἐπίδειξιν ποιεῖ, ὅμως τῆς νεότητος ἕνεκα, ὡς αὐτὸς ὁμολογεῖ, οὕτω περιδεὴς ἦν πρὸς τὰς ἑαυτοῦ δυνάμεις, ὥστε ὀκνῆσαι καινόν τι συγγράψαι καὶ φανερῶσαι περὶ τῆς τέχνης, ὑπὲρ ἧς τοσοῦτοι σοφοὶ ἄνδρες εὐτυχῶς ἐσπούδασαν. Τοιγαροῦν τὰ κάλλιστα τῶν ἰατρικῆς πέρι διαλεγομένων συγγράμματα πολὺν χρόνον μετὰ προσοχῆς ἀναγνοὺς καὶ μελετήσας, ἐκλογήν τε τῶν οὐσιωδεστάτων, καὶ γνώσεως ἀξιωτάτων, μετὰ πολλῆς ἀγχινοίας ποιήσας, ἐν μορφῇ ἀξιοθεάτῳ κεφαλαιωδῶς ἡμῖν ταῦτα προσήνεγκε.

Τὸν δὲ τοῦ διαλόγου τρόπον προείλετο, ὡς τὸ πρόχειρον αὐτῷ παρέξοντος μετὰ μείζονος παῤῥησίας περί τινων διαλέξασθαι, ἐν οἷς ἀποστῆναι τῆς κοινῆς ὁδοῦ ἄξιον ὑπέλαβε. Μετὰ μεγάλης μέντοι τέχνης τὰς ἀεὶ τὸν διάλογον ἀηδῆ ποιούσας ἐπαναλήψεις ἀπέφυγεν, ἐξ οὗ πολὺ ὄφελος τῷ συγγράμματι αὐτοῦ προσεγένετο.

Ἀντὶ δὲ τοῦ συνδιαλεγόμενον διηνεκῆ παραδεχθῆναι, ἀκροατὴν μὲν εἰσήγαγε τὸν Ἰατροκλέα, μετὰ προσοχῆς τοὺς προτεινομένους λογισμοὺς κρίνοντα· ὁ δὲ Εὐθύφρων τὰς ἀντιλογίας προλαμβάνων, οὐδαμῶς τὴν ἐρώτησιν ἀναμένει. Καὶ τοῦτο μὲν παρέτρεψε τὸν συγγραφέα εἰς πολλὰς παρεκβάσεις, ἀλλ' ἀντὶ τοῦ ταύτας βλάπτειν τὸ σύγγραμμα, αἱ δὲ τοῦτο πεποικιλμένον θαυμαστῶς ἀπεργάζονται.

Τουτὶ τὸ σύγγραμμα εἰς δύο μέρη διῄρηται· καὶ ὅτι μὲν τὸ πρῶτον μέρος τῷ ὑπὸ τῆς ἐπιγραφῆς τῆς βίβλου προβληθέντι ὑποκειμένῳ οὐκ ἔστι παντελῶς σύμφωνον, καὶ ὁ συγγραφεὺς αὐτὸς ὁμολογεῖ, τὸ δὲ δεύτερον εὐθὺ τοῦ τεθέντος ὅρου συντείνει.

Αἱ

reconnoisse une vaste érudition, réunie à un jugement exquis, il s'est tellemen méfié de ses forces, en raison de sa jeunesse, comme il l'avoue lui-même, qu'il n'a pas osé rien publier de nouveau sur un art dont se sont occupés avec succès tant d'hommes célèbres : en conséquence, après avoir étudié et médité long-temps les ouvrages les plus importans, publiés sur l'art de guérir, il a fait avec beaucoup de discernement un choix des choses les plus essentielles à connoître, et il les a présentés sous un point de vue intéressant.

Il a préféré la forme de dialogue, parce qu'elle lui procuroit la facilité de discuter plus librement certains objets, à l'égard desquels il a cru devoir s'écarter de la voie ordinaire ; néanmoins, il a évité avec beaucoup d'art les répétitions qui rendent toujours le dialogue fastidieux, et son ouvrage gagne beaucoup à la forme qu'il a adoptée.

Au lieu d'admettre un interlocuteur, il a introduit Iatroclès, auditeur, juge attentif des idées qui lui sont proposées ; Euthyphron prévient toutes les objections, sans attendre qu'on lui fasse aucune question ; ce qui, à la vérité, l'a entraîné dans plusieurs disgressions, mais, loin d'être un défaut, elles rendent l'ouvrage extrêmement varié et agréable.

Il est divisé en deux parties : l'auteur convient que la première ne répond guère à l'objet annoncé par le titre, mais la seconde va directement au but.

Αἱ τῶν συγγραφέων μαρτυρίαι εἰσὶ μὲν πολυάριθμοι, ταύτας δὲ ἔδοξε τῷ συγγραφεῖ πολλαπλασιάσαι, οὐ ματαίας ἐπίδειξιν ποιῆσαι βουλομένῳ παιδείας, ἀλλ' ἵνα σαφέστερον δηλώσειε πολλὰς γνώμας, αἳ ὡς νέαι ὑπὸ τῶν νεωτέρων προβέβληνται, πάλαι ἤδη τοῖς ἀρχαίοις γνωσὰς πεφυκέναι· οὐ μὴν ἀλλὰ τούτῳ καὶ ὡς ἐλέγχῳ ἐχρήσατο, ἄλλαις δόξαις, αἳ τὴν ἀρχὴν δυσχερῶς προσδεκταὶ ἂν ἐφάνησαν, πίστιν καὶ κῦρος περιποιούμενος· ἔσχατον δὲ εὐλαβῶς εἶχεν, ὃ δὴ σπάνιον ἐν τῷ νῦν αἰῶνί ἐστιν, ὅσα ἐξ ἄλλων παρέλαβεν, ὡς καινὰ ταῦτα προθεῖναι. Ὡς ὢν δὲ πεπεισμένος τὰς ἐπιστήμας τελειοτέρας γίνεσθαι, ἡνίκα μετὰ τόλμης τὰ τῶν ἐνδοξοτάτων ἀνδρῶν ἀποκαλύπτεται πταίσματα, ἀεὶ τὴν ἰδίαν δόξαν μετὰ παῤῥησίας προτείνει, μηδοτιοῦν τὸ ἀξίωμα, οἷόν ποτ' ἂν εἴη, αἰδούμενος.

Ὅ γε σοφὸς Γεωργιάδης, ἐν τῷ αὐτοῦ συγγράμματι τὰ ἀναγκαιότατα τῆς ἰατρικῆς θεωρήματα σαναγαγεῖν προκείμενον μάλιστα σκοπὸν ἔχων, τοῦτο ἐν τῇ ἀρχαίᾳ ἑλληνικῇ συγγράψαι προείλετο, ἵνα καί τις ὠφέλεια τοῖς ὁμογενέσιν αὐτοῦ (τὴν ἀρχαίαν ἑλληνικὴν οὐχ ἧττον τῆς νεωτέρας νυνὶ γινώσκουσιν) ἐκ τῶν πολυτελῶν ὑπ' αὐτοῦ ἐν Εὐρώπῃ συλλεγεισῶν γνώσεων προσγένοιτο· προσέθετο δὲ τῷ συγγράμματι καὶ τὴν λατινίδα μετάφρασιν, τὸ πρὸς τοὺς Διδασκάλους χαριστήριον αὐτοῦ φανερῶς μαρτυρήσουσαν. Ἡ λέξις αὐτοῦ εὐάρεστος ὑπάρχει, ἡ ῥῆσις καθαρὰ, καὶ τῇ τῶν καλλίστων ἀρχαίων συγγραφέων, οἷς νύκτωρ καὶ ἡμέραν ἐσχόλαζεν, ἔχουσα τυχὸν συγκριθῆναι. Τοῦτο τὸ πόνημα ὁδηγὸς γενέσθαι τοῖς νέοις ἰατροῖς δύναται, οἳ τὴν ἑλληνικὴν διάλεκτον μαθεῖν ἐπιθυμοῦσιν.

Ἐν τῷ πρώτῳ μέρει διαλέγεται περὶ τῶν γενικῶν, καὶ τῷ

Les citations sont fort nombreuses. Il a cru devoir les multiplier, moins pour étaler une vaine érudition que pour prouver que, plusieurs idées proposées comme neuves par les modernes, avoient été adoptées par les anciens; c'étoit en outre un moyen d'inspirer plus de confiance pour d'autres opinions qui, au premier abord, n'auroient pas paru admissibles : enfin, il s'est fait un scrupule, rare de nos jours, de ne pas donner comme neuf ce qu'il a puisé chez les autres. Convaincu que ce n'est qu'en relevant hardiment les erreurs des hommes les plus respectables qu'on peut perfectionner la science, il ne s'est jamais laissé éblouir par aucune autorité, il a toujours proposé son opinion librement.

Le docteur Georgiades ayant eu particulièrement pour objet de concentrer dans son ouvrage les préceptes les plus importans de l'art de guérir, s'est déterminé à l'écrire en grec littéral, pour mettre ses compatriotes (à qui cette langue est aujourd'hui aussi familière que le grec vulgaire), à même de profiter des richesses qu'il a puisées en Europe; et il y a joint une traduction latine, comme un témoignage des sentimens de reconnoissance dont il est pénétré pour ses maîtres. Son style est agréable, la diction en est pure et peut être comparée à celle des meilleurs auteurs de l'antiquité, qu'il a médités jour et nuit. Cet ouvrage peut servir de guide aux jeunes médecins qui se proposent d'apprendre la langue grecque.

La première partie roule sur les connoissances

ἰατρῷ ἀναγκαιοτάτων ἐπιστημῶν· περὶ ἀνθρώπου, ὑγείας καὶ νόσων.

Πρὶν ἢ δὲ τῆς ὑποθέσεως ἄρξασθαι, ἐνδίκως μέμφεται ὁ συγγραφεὺς τοῖς πολλοῖς, οἳ καθόλου κρίσιν περὶ τῆς ἰατρικῆς ποιοῦσιν ἐξ ἑσμοῦ τινος ἀμαθῶν, τὴν σεβασμίαν ταύτην τέχνην εἰδέναι προσποιουμένων, μᾶλλον ἢ ἐκ τῶν ὄντως πεπαιδευμένων καὶ εἰδημόνων. Μόνοι γὰρ οἱ ἀμαθεῖς τὰς φύσει ἰασίμους τῶν νόσων ἀνιάτους ποιοῦσιν· οἱ δὲ μηδεμίαν τῶν ἐπιστημῶν, αἳ ἀξίους ἡμᾶς τῆς ἐντίμου ἐπωνυμίας τοῦ ἰατροῦ ἀποδεικνύουσι, παραμελήσαντες, εὐχερῶς πρὸς πάντας τοὺς ἰάσεως ἐπιδεκτικοὺς θεραπείαν ἐπάγουσι. Καὶ μὴν ἰστέον ὅτι οἱ τὸ ἐπίπονον τόδε ῥᾴδιον διαβραμεῖν ἐπιθυμοῦντες, οὐκ ἄλλως τοῦ σκοποῦ ἐπιτυχεῖν δυνήσονται, ἢ τῇ πείρᾳ τὴν θεωρίαν συζεύξαντες, καὶ τὰ ἴχνη τῶν εὐτυχῶς τὴν ἰατρικὴν μεταχειρισαμένων βαδίζοντες, καὶ τὸν ἐκείνων τρόπον ζηλοῦντες, μηδὲ πρότερον ἀφιστάμενοι τούτου, εἰ μὴ ὅτε ὑπὸ λόγων ἰσχυρῶν πείθονται· οὕτω γὰρ μόνον ἐλπὶς αὐτοῖς ὑπολείπεται ἐν ταύτῃ τῇ τέχνῃ εὐδοκιμήσειν, εὐκλείας τε καὶ τιμῆς παρὰ τοῖς πεπαιδευμένοις τεύξεσθαι· τὰ δὲ κατὰ τῶν ἰατρῶν τοξευθέντα καταγέλαστα λοιδορήματα, τῶν ἀμαθῶν μόνον ἅπτεται.

Οἵ γε καλῆς ἀγωγῆς καὶ παιδείας τυχόντες οὐκ ἀγνοοῦσιν, ὅτι ὁ ἐμπειρότατος ἰατρὸς, καίπερ πάσῃ μηχανῇ τὴν θεραπείαν περιποιεῖσθαι σπουδάζων, πολλάκις κωλύμασι περιπίπτει ἀνυπερβλήτοις ἐκ τῆς ἰδιοσυγκρασίας, καὶ τοῦ τῆς διαίτης τρόπου τῶν νοσούντων ἀναφυομένοις· ἐνταῦθα δὴ συγχωροῦμεν οὐκ ἀεὶ οἷόν τε εἶναι αὐτῷ ἀκριβῶς κρίνειν περὶ τῆς θεραπευτικῆς ὁδοῦ, ἣν τρέπεσθαι ὀφείλει· ἀλλά γε οὐ τοῦτο καθόλου ἀποδοτέον ἐστὶ τῇ μεγίστῃ τῶν ἀσθενούντων ἀμελείᾳ, οἳ τὸν καιρὸν, καθ' ὃν ἄν τις τὰς νόσους εὐτυχῶς πραγματεύσασθαι ἔχοι, παρελθεῖν

générales, nécessaires aux médecins : sur l'homme, la santé et les maladies.

Il se plaint avec justice, avant d'entrer en matière, de ce que le public juge en général les médecins plutôt d'après une foule de gens qui se livrent à cet art respectable sans le connoître, que d'après ceux qui sont vraiment instruits ; c'est l'ignorant qui rend incurables les maladies guérisables de leur nature. Celui au contraire qui n'a rien négligé pour se rendre digne du titre honorable de médecin, sauve tous les malades susceptibles de guérison. Mais il est essentiel que tous ceux qui entreprennent de suivre cette carrière difficile, ne perdent jamais de vue que ce n'est qu'en réunissant la théorie à la pratique, en marchant sur les traces de ceux qui ont exercé la médecine avec succès, et en suivant avec persévérance leur méthode, tant qu'on ne rencontrera pas de fortes raisons de s'en écarter, qu'on peut espérer exceller dans cet art, mériter l'estime et le respect du public éclairé ; car toutes les ridicules invectives, lancées contre les médecins, ne peuvent tomber que sur les ignorans.

Les hommes bien élevés et instruits n'ignorent pas que le médecin le plus habile, quelques tentatives qu'il fasse, rencontre souvent des obstacles insurmontables, qui dépendent de la constitution des malades et du genre de vie qui a disposé peu à peu à la maladie ; nous convenons qu'alors il peut être incertain sur la marche qu'il doit suivre ; mais ne doit-on pas en général attribuer cet embarras à la négligence extrême des malades qui ont laissé échapper le moment

ἐῶντες, ἀδίκως τοῖς ἰατροῖς, ὡς δῆλόν ἐστιν, ἐφ' οὓς κατέφυγον, μέμφονται;

Ἡ ἰατρικὴ ἰδίοις καὶ ἀμεταβλήτοις νόμοις χρῆται καὶ ὑποστηρίζεται, ἐπὶ ἐμπειρίᾳ μὲν ἱδρυμένοις πολυχρονίῳ· ἀλλὰ τὸν ταύτην μετ' ὠφελείας μεταχειρίσασθαι ἐπιθυμοῦντα, δεῖ πλείους γε ἐπιστήμας, δυσχερεστάτην αὐτὴν ἀποφαινούσας, προλαβόντα κτήσασθαι. Αὕτη γὰρ δεῖται μνήμης εὐτυχοῦς, εὐμοίρου φύσεως, δικαιοκρισίας, πολλοῦ χρόνου, καὶ πλείονος γενναιότητος, θαυμαστῆς εὐφυίας, ὑγείας στερεωτέρας, τοῖς εἰς τὴν κτῆσιν τῆς τέχνης ταύτης ἀπατουμένοις πόνοις ἀντισῆναι δυνησομένης, καί τινος χρηματικῆς εὐπορίας, οἵας ἐπὶ τὰς πολλὰς δαπάνας ἀρκέσαι, ἃς τὸν αὐτὴν διδαχθησόμενον ἐν πολλοῖς ἔτεσιν ὑποφέρειν ἀνάγκη.

Μάλιστα μὴν πάντων εὐκτέον ἂν εἴη πάντας τοὺς περὶ τὰς ἐπιστήμας διατρίβοντας ἐν μιᾷ γλώσσῃ ἐκ συνθήκης συγγράφειν. Οὕτω γὰρ τῆς πολλοῦ χρόνου, εἰς τὴν τῶν κυριωτέρων τῆς Εὐρώπης φωνῶν μάθησιν ἀπαιτουμένου, ἀπωλείας ἐκκλινομένης, ἕκαστος ταῖς δόξαις, τῶν ἐν διαφόροις ἔθνεσι σοφῶν ἔχοι ἂν ἐντυγχάνειν, μηδαμῶς εἰς τὰ μεταφράσεις, ἀεὶ πίστεως μὴ οὔσας ἀξίας, καταφύγειν ἀναγκαζόμενος. Ἀλλ' οἱ καθ' ἡμᾶς συγγράφοντες σοφοὶ τοὐναντίον πράττουσιν, ἀντὶ γὰρ τοῦ ἐν οὕτως οὐσιώδει πραγματείᾳ συμφωνῆσαι, προσαύξειν μᾶλλον τὰς δυσχερείας, τοῦ τὰς σφῶν γνώσεις ἀλλήλοις ἀμοιβαίως κοινωνεῖν, φαίνονται, τὰ γὰρ ἐκ παλαιοῦ παραδεχθέντα, καὶ χρημάτων ἤδη πρὸ πολλοῦ ἐγνωσμένων σημαντικὰ ὀνόματα, ἀπορρίπτουσιν.

Ὁ σοφὸς ἡμέτερος συγγραφεὺς ὁμολογεῖ τὰ ἀρχαῖα τῶν ὀνομάτων μὴ ὁμοίως τοῖς νεωτέροις εὐκρινῆ νοήματα ὧν σημαίνουσι χρημάτων διδόναι, ἀλλ' ἢ ἐκ τῶν νεωτέρων, φησὶν,

favorable pour pouvoir être traités avec succès ? C'est donc à tort qu'ils se plaignent de ceux auxquels ils ont recours.

La médecine a ses règles fixes, fondées sur une longue expérience; mais pour la pratiquer avec fruit, il faut commencer par acquérir une foule de connoissances qui la rendent extrêmement difficile. Elle exige une mémoire heureuse, un génie élevé, un jugement exquis, beaucoup de temps et de courage, une grande pénétration d'esprit, une santé capable de résister aux travaux habituels qu'exige cet art, et une certaine aisance pour suffire aux grandes dépenses que l'étudiant est obligé de faire pendant un grand nombre d'années.

Il seroit fort à désirer que tous ceux qui se livrent aux sciences, convinssent entre eux d'écrire dans une seule langue, on éviteroit ainsi la perte de temps immense qu'exige l'étude des principales langues de l'Europe, lorsqu'on veut connoître les opinions des savans des différentes nations, sans avoir recours aux traductions qui sont toujours infidèles. Mais, loin de se réunir sur un objet aussi important, les savans qui écrivent aujourd'hui semblent augmenter les difficultés de se communiquer mutuellement leurs idées, en rejetant les noms anciennement adoptés pour les choses connues depuis long-temps.

Notre savant auteur convient que ces noms donnent des idées moins claires de l'objet qu'ils désignent, que les nouvelles dénominations ; mais, ajoute-t-il,

ὀνομάτων ὠφέλεια, τῇ συγχύσει, καὶ τῇ τοῦ χρόνου ἀπωλείᾳ, ἣν αὐτὰ ποιεῖ, οὐκ ἔξιν ἀνάλογος. Σχολαστέον, ὡς Γαληνὸς ἐντέλλεται, τῇ γνώσει τῶν πραγμάτων μᾶλλον, ἢ τοῖς τούτων ὀνόμασιν· οἷαις γὰρ ὄντως ὁ νέος ἰατρὸς περιπίπτει ταῖς δυσχερείαις, τῇ μνήμῃ ἐγχαράξαι τε καὶ διατηρῆσαι τὰς ἐξ ὀλίγων ἐτῶν, ὑφ' ἑκάστου τῶν νέα συγήματα προβεβληκότων, παραδεχθείσας λέξεις, ἀγωνιζόμενος! Πόσαι ἀμφιβολίαι πολλάκις ἐκ τούτου ἀναπεφύκασιν! Ὥστε εἶναι ἀδύνατον δύο ἰατροὺς περὶ τῶν οὐσιωδεστάτων τῆς ἰδίας τέχνης ὑποκειμένων λαλεῖν, καὶ συνιέναι ἀλλήλων, μὴ πρότερον περὶ τῆς σημασίας, ἣν ἑκάτερος ταῖς λέξεσιν, αἷς χρῆται, δίδωσι, συμφωνήσαντας. Κατὰ δυσμοιρίαν οἱ μόλις τὰ τῆς ἰατρικῆς ὄργια ὀργιάσαντες, τὰ μόνῳ τῷ ὀνόματι καινοφανῆ βιβλία κτήσασθαι σπεύδουσι, τὰς καινὰς ὀνομασίας καινῶν πραγμάτων σημαντικὰς ὑπάρχειν οἰόμενοι, ἀλλ' ἡ τούτων ἀνάγνωσις πολλάκις, ὅσον ἐξηπάτηνται, φανερῶς ἀποδείκνυσι. Προσέτι τοῖς προειρημένοις βλάβεσι τῶν νέων ὀνομάτων καὶ τοῦτο τὸ ἄτοπον προσῳκειώθη, ὅτι τοὺς θησαυροὺς τῶν παλαι σοφῶν ἀνδρῶν, οὓς ἐκεῖνοι κατέλιπον ἐν βιβλίοις γράψαντες, ἀνελίττειν καὶ διέρχεσθαι ἀδύνατον, τοῖς μὴ πρότερον τὰ ὀνόματα, οἷς αὐτοὶ ἐχρήσαντο, μεμαθηκόσι.

Ὁ μὲν ταῖσδε, αἷς ἔφθημεν εἰπόντες, ταῖς ἀρεταῖς προέχων ἰατρὸς, τὰ τῆς ἰατρικῆς ὅρια παρατεῖναι ὅπου δυνήσεται, ἐξ οὗ γὰρ εἰς ἓν πάντα τὰ αὐτῶν ἐπιχειρήματα συναγαγεῖν οἱ πεπαιδευμένοι ἄνδρες ἔγνωσαν, ἡ θεραπεία παμπόλλων νόσων βεβαιοτέρα ἐγένετο, οἷον τῶν διαλειπόντων πυρετῶν, τῶν δυ-

σεντεριῶν

l'avantage qu'on retire de ces dernières n'est pas proportionné à l'embarras et à la perte de temps qu'elles entraînent. Occupons-nous plutôt, comme le recommande Galien, de la connoissance des choses même que des mots. En effet, que de difficultés ne rencontre pas le jeune médecin pour introduire et conserver dans sa mémoire les termes adoptés depuis un petit nombre d'années, par chacun de ceux qui ont proposé de nouveaux systêmes. Qu'elle confusion n'en est-il pas résulté. Les choses sont au point qu'il est impossible que deux médecins puissent raisonner sur les objets les plus importans de leur art, et s'entendre, s'ils ne commencent par convenir de la signification que chacun d'eux donne aux termes dont il se sert. Malheureusement ceux qui sont à peine initiés dans la science, s'empressent de se procurer tout livre nouveau, d'après le titre seul, s'imaginant qu'une nouvelle dénomination indique des choses neuves; mais la lecture leur prouve souvent qu'ils se sont bien trompés. Ces dénominations mettent en outre dans l'impossibilité de jouir des trésors précieux que nous ont transmis les anciens philosophes, si l'on ne fait une étude particulière des noms dont ils se sont servis.

Tout médecin, doué des avantages dont nous avons fait l'énumération, reculera certainement les bornes de l'art; c'est par les efforts réunis des hommes instruits que le traitement de quantité de maladies, telles que les fièvres intermittentes, les dyssenteries et quantité d'autres, est devenu plus certain; et que

σεντεριῶν, καὶ μυρίων ἄλλων· καὶ προσέτι ὁ δαμαλισμὸς τῆς δεινοτάτης μάσιγος τὸ ἀνθρώπινον γένος ἐρρύσατο.

Ἐν τῷ γ' κεφαλαίῳ, ὀρθόταται καὶ ὠφελιμώταται γνώσεις περὶ φύσεως ἀνθρώπου εὑρίσκονται, καὶ ἐπὶ τούτοις θερμοτάτη καὶ χαριεστάτη σύγκρισις τοῦ ἀνθρώπου νηπίου ὄντος πρὸς τὰ τῶν ζώων νεογνά. Ὁ πολυμαθὴς συγγραφεὺς ἀποδείκνυσιν ὡς εἰ ταῖς νόσοις μᾶλλον ἢ ἐκεῖνα ὑποκείμενοι ἐσμὲν, ταύτης τῆς συμφορᾶς αἰτία ἐστὶν ὁ τῆς διαίτης τρόπος, καὶ αἱ πολλαπλάσιαι ἀκολασίαι, περὶ ἃς οἱ ἐν πόλεσι συνδιατρίβοντες πλημμελοῦσι. Τὰ γὰρ σωφρόνως καὶ μετρίως ζῶντα, μόναις τε ταῖς φυσικαῖς καὶ ἀφεύκτοις ὀρέξεσιν ἑπόμενα ἔθνη, καὶ τὰ ὀνόματα πολλῶν ἀσθενειῶν ἀγνοοῦσιν, ἃις οἱ ἐν πόλεσι διάγοντες καὶ τρυφῇ καὶ μαλθακίᾳ ἐκνενευρισμένοι, πιέζονται. Πολύ τι πλῆθος γυναικῶν ἐν τρυφῇ τεθραμμένων, ἀφορήτοις ὀδύναις κατέχονται, τῆς ἐμμήνου ῥύσεως ἐφισταμένης, ἢ ἤδη ῥεούσης. Οἱ δὲ τοκετοὶ αὐτῶν πολλάκις δυσχερεῖς εἰσὶ, καὶ δεινὰς καὶ βαρείας τὰς ἀκολουθίας ἔχοντες· αὗται αἱ ταλαιπωρίαι ἐκ τῆς αὐτῶν ἀγωγῆς ὅθεν τὴν ἀρχὴν ἕλκουσιν, εἴπερ αἱ τῆς ἁπλότητος τῆς φύσεως μὴ ἀποστάσαι τῶν ἀγρίων ἐθνῶν γυναῖκες πάντων τούτων ἀπηλλαγμέναι εἰσίν.

Ἐν τῷ δ' κεφαλαίῳ ὁ συγγραφεὺς σύγκρισιν τῆς ὑγείας πρὸς τὴν νόσον ποιεῖ· τὴν ἐντελῆ ὑγείαν ἐν τῇ ἐπινοίᾳ μόνον ὑφεστηκέναι οἰόμενος, αὕτη δὲ καὶ συμβᾶσα κατὰ τύχην, βραχὺν ὅσον καιρὸν διαρκεῖ, ὡς τοῦ ἡμετέρου σώματος διηνεκέσιν ὑποκειμένου μεταβολαῖς. Αἱ δὲ περὶ τούτων καθ' ἕκαστον ἐξετάσεις ἄξιαί εἰσι προσεκτικῶς ἀναγνωσθῆναι· οὐ γὰρ ἁπασῶν ἐνταῦθα μνησθῆναι ἔχομεν. Σημειωτέον δὲ, ὡς κατά τινα τοῦ

la vaccination enfin a délivré le genre humain du plus terrible fleau.

Le chapitre III offre les idées les plus justes et les plus intéressantes sur la nature de l'homme, et une comparaison aussi piquante qu'agréable de l'état de l'homme naissant avec celui des animaux. Notre savant écrivain démontre que, si nous sommes plus sujets aux maladies que les derniers, on doit l'attribuer à notre manière de vivre, aux excès en tout genre auxquels se livrent les hommes réunis en société ; car les nations qui mènent une vie sobre, qui ne suivent que leurs appétits naturels et indispensables, ignorent jusqu'aux noms de quantités de maladies dont sont affligés les habitans des villes énervés par le luxe et la mollesse. Quantité de femmes, mollement élevées, éprouvent des douleurs excessives aux approches ou pendant le cours de leurs grossesses ; leurs accouchemens sont souvent difficiles et suivis d'accidens graves, qu'on ne peut attribuer qu'à leur éducation, puisque ces cas sont très-rares chez les femmes des peuples sauvages, qui ne se sont jamais écartées de la simplicité de la nature.

Il compare dans le chap. IV la santé avec la maladie : il pense que la parfaite santé est un être de raison, et que quand elle existe par hasard, elle est de très-courte durée, parce que notre corps éprouve des changemens continuels. Les détails qu'il donne sur cet objet, méritent d'être lus avec attention. Je ne puis le suivre, mais je crois devoir ob-

Πλουτάρχου μαρτυρίαν ἀποδείκνυται, ὡς πάλαι οἱ σοφοὶ προέβαλον τὸ ψύχος μὴ ἀυθύπαρκτον, ἀλλὰ τῆς θερμότητος στέρησιν πεφυκέναι.

Ἐν τῷ ε' κεφαλαίῳ, περὶ μακροβιότητος καὶ βραχύτητος τῆς ζωῆς πραγματευομένῳ, ὁ συγγραφεὺς παρατηρεῖ ὡς καθόλου αἱ γυναῖκες χρόνον ζῶσι πολὺ πλείω τῶν ἀνδρῶν, τοὐναντίον δὲ τοῦ ἑκατοστοῦ ἔτους καὶ ἐπέκεινα, πλείους μὲν ἄνδρες, ἐλάττους δὲ γυναῖκες τυγχάνουσιν. Ἀρνηθῆναί γε οὐκ ἔχομεν, ὡς νῦν ὁ τῶν μακροβίων ἀριθμὸς οὐ τοσοῦτος, ὡς πάλαι ἐστίν, ἀλλ' ὅμως τὸ τῆς ἀνθρωπίνης ζωῆς στάδιον τὸ αὐτὸ ἐντελῶς ὑπάρχει· ἐξέλιπε γὰρ ἂν μέχρι τοῦ νῦν τὸ ἀνθρώπινον γένος, εἴπερ, ὡς οἱ πλεῖστοι λογίζονται, ἡ τοῦ ἀνθρώπου ζωὴ ἀναλόγως τῷ κόσμῳ γηράσκοντι συνεβραχύνετο· εἰ δὲ νῦν οἱ ἑκατονταετεῖς σπανιώτεροι ἢ κατὰ τοὺς ἀρχαίους αἰῶνας εἰσί, τοῦτο μέντοι ταῖς συμβάσαις ἐπὶ καιρῶν τῇ τῆς γῆς σφαίρᾳ μεταβολαῖς, μᾶλλον δὲ τῇ διαίτῃ ἀποδοτέον. Τοῦτο τὸ ἀληθὲς ἐν πᾶσι τόποις καὶ κλίμασιν ἐντελῶς συνδοκιμάζεται· ἁπανταχοῦ γὰρ κατὰ τὸ μᾶλλον καὶ ἧττον ἑκατονταετεῖς καθορῶνται· ἀεὶ μέντοι γε οὗτοι πλείους εἰσὶν ἐν τοῖς ὑψηλοτέροις, ψυχροτέροις τε καὶ ἀρκτικωτέροις κλίμασιν (οἷον ἐν τῇ Σουηκίᾳ, Νορβεγίᾳ, Δανίᾳ, καὶ Ἀγγλίᾳ), ἢ ἐν τοῖς θερμοῖς τε καὶ κοίλοις. Ἐν γὰρ τοῖς προτέροις κλίμασιν ὤφθησάν τινες ἄχρις ρν' ἐτῶν καί τι πρὸς βιώσαντες· ἡ δὲ ζωὴ ἐν τοῖς ψυχροτάτοις τόποις, οἷοι οἱ περὶ τοὺς πόλους, βραχυτέρα ἐστί.

server qu'il prouve, d'après un passage de Plutarque, que les anciens avoient déjà avancé que le froid n'étoit pas un être réel, mais la privation de la chaleur.

Dans le chap. v, qui roule sur la longueur et la brièveté de la vie, l'auteur observe que quoiqu'en général les femmes vivent beaucoup plus longtemps que les hommes, on a vu plus d'hommes que de femmes aller au delà d'un siècle. On ne peut nier que les centenaires ne sont pas aussi communs qu'autrefois ; néanmoins le cours de notre vie est absolument le même que dans les premiers siècles du monde. Le genre humain seroit presque anéanti aujourd'hui si la vie de l'homme étoit devenue plus courte à proportion que le monde a vieilli, comme on le croit communément : si les centenaires sont plus rares que dans les premiers siècles, on ne peut l'attribuer qu'aux divers changemens survenus au globe terrestre, et surtout à la manière de vivre. Cela est vrai pour tous les lieux et pour tous les climats, car il n'y en a pas où l'on ne rencontre plus ou moins de centenaires. Ils ont cependant toujours été moins rares dans les climats les plus élevés, les plus froids et les plus voisins du Nord (tels sont la Suède, la Nowerge, le Danemark et l'Angleterre), que dans ceux qui sont chauds et bas. On a vu dans ces premiers climats des hommes parvenir jusqu'à cent cinquante ans et plus : la vie est plus courte dans les pays extrêmement froids, tels que ceux qui sont situés sous les pôles.

Διὰ παντὸς ἀεὶ τοῦ αἰῶνος ὡμολογήθη, τὸ βεβαιότερον τῆς μακροβιότητος ἐπιτήδευμα ἐν τῇ τῶν παντοίων ὑπερβολῶν ἀποφυγῇ, καὶ μάλιστα ἐν τῇ σωφροσύνῃ, κεῖσθαι. Ἤρετό τις ποτε Γοργίαν τὸν ῥήτορα, (ὃς ἔτος ρη' ἄγων, καὶ τῇ ζωῇ προσοχθήσας, τροφῆς ἀπεχόμενος ἐτελεύτησε), πῶς αὐτῷ οἷόν τε ἐγένετο εἰς τοιοῦτον γῆρας ἀφικέσθαι, ἄνευ τινὸς τῶν αἰσθήσεων διαφθορᾶς; ὁ δὲ, διὰ τὸ μηδέποτε συμπεριενεχθῆναι ταῖς τῶν ἄλλων εὐωχίαις, ἀπεκρίνατο.

Τὸ τοῦ ς'. κεφαλαίου ὑποκείμενον, ἡ ἀρχὴ τῶν νόσων ἐστίν. Ὁ συγγραφεὺς γενικαῖς τισι διαιρέσεσιν ἀρκούμενος, διαιρεῖ τὰς νόσους εἰς δύο τάξεις, εἰς χυμικὰς δηλαδὴ καὶ εἰς μηχανικὰς, καὶ αἱ μὲν πρῶται ἐκ τῆς μεταβολῆς τῶν ὑγρῶν μορίων τοῦ σώματος τὴν ἀρχὴν λαμβάνουσιν, ἐκ τῆς τῶν στερρῶν δὲ αἱ δεύτεραι· ἀλλά γε ὁμολογεῖ τὰς δύο ταύτας τάξεις μὴ διὰ μακροῦ διῃρημένας ἀπ' ἀλλήλων ἔχειν διαμεῖναι, ὡς τῇ τῶν ὑγρῶν μεταβολῇ ἀμέσως καὶ τῆς τῶν στερρῶν ἑπομένης, καὶ ἐναλλάξ.

Αἱ τῶν νόσων αἰτίαι δύο εἰσὶν, ἐσωτερικαὶ, ἢ ἐξωτερικαί· ἢ ἐν τῷ σώματι δηλαδὴ, ἢ ἐκτὸς τούτου γεννῶνται· αὖθις αἱ αἰτίαι αὗται ἤτοι ὑλικαὶ τυγχάνουσιν οὖσαι, ἢ ἄϋλοι· καὶ αἱ μὲν πρῶται εἰσὶ κοινότεραι, αἷς ἔσχαται ὑπὸ τῶν παθῶν τῆς ψυχῆς ἐργάζονται.

Ἐσωτερικὴ αἰτία ἐστὶν ἡ διάθεσις, ἢ μᾶλλον εἰπεῖν, ἡ ἰδία ἑκάστῳ κατὰ σῶμα κατάστασις, ἢ τοῦτον καὶ ὑγιῆ ὄντα, εἰς νόσον τινὰ διατίθησιν, ἅμα τῷ αἰτιόν τι ἐξωτερικὸν συζευχθῆναι ἐκείνῃ. Καὶ τὰ ἰσχυρότατα δὲ τῶν ἐξωτερικῶν αἰτίων

L'on a reconnu de tout temps, que le plus sûr moyen de prolonger la vie consistoit à éviter les excès en tout genre, et surtout à vivre frugalement. On demandoit au rhéteur Gorgias (qui, à l'âge de cent huit ans, las de la vie, se laissa mourir de faim), comment il avoit pu parvenir à une extrême vieillesse, sans avoir souffert aucune altération de ses sens? il répondit que c'étoit en refusant constamment de se rendre aux grands festins auxquels on l'invitoit.

Le chap. VI a pour objet l'origine des maladies. L'auteur, après quelques divisions générales, en admet deux classes, savoir, les chymiques et les mécaniques; les premières consistent dans le changement des fluides; les secondes dans le changement des solides; il convient néanmoins que ces deux classes ne restent pas long-temps distinctes, parce que l'altération des fluides est bientôt suivie de celle des solides, et réciproquement.

Les causes de maladies sont internes ou externes, c'est-à-dire prennent naissance dans le corps ou hors du corps; ces causes sont matérielles ou immatérielles; les premières sont les plus communes; les dernières sont l'effet des affections de l'ame.

Les causes internes sont la disposition ou plutôt l'état particulier à tout individu qui, quoique sain, le dispose plus ou moins à la maladie, dès qu'une cause externe se réunit à cette disposition. Les causes externes les plus puissantes n'ont aucune

οὐδοτιοῦν κρατεῖν δύναται ἐκείνων, ἐξ ὧν αὕτη ἡ διάθεσις ἄπεσιν, ἢ καθήρηται, ὥσπερ τοῦτο ἐν τοῖς τὸν λοιμὸν, ἢ τὴν φλυκταίνουσαν λοιμικὴν ἅπαξ νοσήσασι παρατηρεῖται· τὸ αὐτὸ καὶ ὁ δαμαλισμὸς ἀπεργάζεται, οὐ μὴν ἀλλὰ καὶ τὸ ἔθος τοῖς διὰ μακροῦ τοῖς ὀλεθριωτάτοις τῶν μιασμάτων προσπελάσασι· διὸ καὶ οἱ τῇ πράξει τῆς ἰατρικῆς ἐγγηράσαντες καθόλου μᾶλλον τῶν νέων ἰατρῶν ἀντίκεινται τοῖς μιάσμασιν.

Ὁ ἡμέτερος σοφὸς ἐν ταῖς νόσοις τρία στάδια ἀποδέχεται, τὴν αὔξησιν δηλαδὴ, τὴν στάσιν καὶ τὴν παρακμήν· διαιρεῖ δὲ τὰς νόσους εἰς δύο γένη, ὡς ἢ ἐν τῇ ψυχῇ οὔσας, ἢ ἐν τῷ σώματι τὴν ἕδραν ἐχούσας· καὶ ψυχικὰς μὲν τὰς πρώτας, σωματικὰς δὲ τὰς δευτέρας ἀποκαλεῖ. Ἀεὶ μέντοι ἐν τῇ τῆς ἰατρικῆς μεταχειρίσει μνησέον ὡς ταῦτα τὰ γένη τῶν νόσων πολλάκις ἀλλήλοις συγχεῖται· διὰ γὰρ τὸν ἔμφυτον τῆς ψυχῆς καὶ τοῦ σώματος σύνδεσμον, ἀδύνατόν ἐστι τῆς ψυχῆς παθούσης μὴ καὶ τὰς δεινοτάτας μεταβολὰς πάσῃ τῇ τοῦ ζώου ἐμποιηθῆναι οἰκονομίᾳ. Δυσιατώταται δὲ αἱ ἐκ ταύτης πηγάζουσαι νόσοι εἰσὶν, ὡς τῆς τέχνης ἐπικουρίαν μὴ εὐπορούσης, ἢ τὰ ἐκείνας γεννήσαντα αἴτια ἐκποδὼν ποιήσασθαι οἷα τ' ἂν εἴη.

Τὴν ἀρχαίαν ὁ συγγραφεὺς τῶν νόσων ἀποδέχεται διαίρεσιν τὴν εἰς ὀξείας καὶ χρονίας, ἃς Βρούων ὑπὸ τοῖς ὀνόμασι σθενικὰς καὶ ἀσθενικὰς ἐπισημήνας φαίνεται. Αἱ νόσοι εἰσὶν ἢ γενικαὶ, ἢ μερικαὶ, λόγῳ τοῦ γένους, τῆς κράσεως, τοῦ κλίματος, καὶ πολλῶν ἄλλων περιστάσεων, ὧν ἡ ἀπαρίθμησις οὐκ οἰκεία ἐνταῦθα, ἀλλήλων διαφέρουσαι.

Ὅτε δὲ πολλαὶ νόσοι ἀλλήλοις συμπλέκονται, ἡ τούτων

action sur ceux où cette disposition n'existe pas, ou chez qui elle a été détruite, comme on l'observe chez les individus qui ont une fois été attaqués de la peste ou de la petite vérole. La vaccination produit un effet semblable : il en est de même de l'habitude chez ceux qui ont été exposés aux miasmes les plus funestes; c'est pourquoi les médecins qui ont vieilli dans l'exercice de leur art, résistent en général plus facilement à la contagion que ceux qui sont à la fleur de l'âge.

Notre savant reconnoît trois stades dans les maladies, savoir, l'accroissement, l'état et le déclin. Il les divise en deux genres, selon qu'elles dépendent de l'ame, ou qu'elles ont leur siége dans le corps; il appelle les premières animales, les secondes corporelles. Il ne faut jamais perdre de vue dans la pratique, que ces deux genres se confondent souvent, en raison de l'union intime de l'ame avec le corps. La première ne peut être affectée sans produire les changemens les plus funestes dans toute l'économie animale; les maladies qui dépendent de l'ame sont les plus difficiles à guérir, parce que l'art ne connoît guère de moyen de détruire les causes qui les ont produites.

L'auteur admet la division ancienne des maladies en aiguës et en chroniques, que Brown semble avoir désignées sous les noms de sthéniques et d'asthéniques. Les maladies sont ou générales ou partielles, elles varient en raison du sexe, du tempérament, du climat et de quantité d'autres circonstances dont l'énumération seroit déplacée ici.

Mais quand plusieurs maladies se trouvent com-

θεραπεία λίαν δυσχερὴς ἀποβαίνει· ἡ γὰρ κατ' ἀνάγκην φαρμάκων ἀλλήλοις ἀντικειμένων χρῆσις τὴν ἐλπίδα τῆς ἰάσεως ἐλάττω ποιεῖ. Ταύτῃ ἔτι τῇ τάξει προσθετέαι εἰσὶ καὶ αἱ λίαν χρονίσασαι, οἷον αἱ ταῖς ὀξείαις νόσοις ἑπόμεναι τῶν σπλάγχνων ἐμφράξεις.

Πολλαὶ νόσοι δυσίατοι ἢ ἀνίατοι ἀποβαίνουσι, λόγῳ τῆς αὐτῶν θέσεως, οἷά ἐσι τὰ φάρυγγος, λάρυγγος, πνεύμονος καὶ μήτρας ἕλκη, καὶ αἱ τῶν σπλάγχνων τῆς κάτω κοιλίας ἐμφράξεις. Ὥσπερ γὰρ αἱ ἄλλαι ἐπιςῆμαι, οὕτω καὶ ἡ ἰατρικὴ ἐν τοῖς ἰδίοις ὅροις περιορίζεται.

Τὸ δὲ ζ'. κεφάλαιον, ἀξιοθέατόν τινα εἰκόνα πάντων τῶν πολλοῦ λόγου ἀξίων μέχρι τοῦ νῦν περὶ τοῦ ἀέρος εἰρημένων ἡμῖν παρίςησι, καὶ μετὰ τὸ ἀποδεῖξαι ὅτι οἱ ἀρχαῖοι οὐχ ἁπλᾶ σώματα, ἧπου οἱ νεώτεροι οἴονται, τὰ τέσσαρα ςοιχεῖα εἶναι ἐνόμιζον, τὰ τοῦ ἀέρος συνθετικὰ μέρη, καὶ τὰ διάφορα ἐνεργήματα, ἃ τόδε τὸ ὑγρὸν εἰς τὸ ἡμέτερον σῶμα ἀπεργάζεται, λεπτομερῶς διεξέρχεται· ἀλλά γε ἔν τινι σημειώσει τῇ τοῦ περικλεοῦς Ἄγγλου Λεσλιέου γνώμῃ συμφωνῶν φαίνεται, ὃς διὰ τῶν κοινωθεισῶν περὶ τῆς ζωϊκῆς θερμότητος ἐξετάσεων τὴν τῶν νεωτέρων χυμικῶν ὑπόθεσιν καθελεῖν ἐσπούδασεν, ἐκ μόνης τῆς ἐν τῷ πνεύμονι διαλύσεως τοῦ ὀξυγενίου τὴν ζωϊκὴν θερμότητα ἐμποιεῖσθαι νομιζόντων· πῶς γὰρ ἂν πρὸς Διὸς οἷόν τε, κατὰ ταύτην τὴν ὑπόθεσιν, τὸν λόγον ἀποδοῦναι τοῦ ἡδέος τῆς ἀναψυχῆς αἰσθήματος, οὗ τὰ λίαν κεκοπιακότα τῶν ζώων πειρῶνται, ἀέρα ψυχρὸν, καὶ πλέω ὀξυγενίου εἰσπνέοντα;

pliquées, le traitement en est extrêmement difficile ; car la nécessité de recourir à des remèdes opposés, diminue beaucoup l'espoir de la guérison. Il en est de même de celles qui sont invétérées, telles que les obstructions des viscères qui succèdent aux maladies aiguës.

Une foule d'infirmités deviennent difficiles à guérir, ou même incurables, en raison de leur siége, tels sont les ulcères du pharynx, du larynx, des poumons, de la matrice, et les obstructions des viscères du bas-ventre. Car la médecine a ses limites, comme tous les autres arts.

Le chap. VII, qui traite de l'air, offre un tableau intéressant de tout ce qu'on a écrit de plus important sur cet objet. Il prouve d'abord que les anciens n'ont point pensé, comme l'avancent les modernes, que les substances qu'ils ont désignées sous le nom des quatre élémens, fussent des corps simples ; il donne ensuite des détails sur les parties constituantes de l'air, et sur les effets divers que produit ce fluide sur le corps humain : mais il semble, dans une note, pencher pour l'opinion du docteur Leslie, anglois, célèbre par les recherches qu'il a publiées sur la chaleur animale, lequel a tâché de renverser l'hypothèse des chymistes modernes, qui prétendent que la chaleur animale est uniquement produite par la dissolution du gas oxygène dans les poumons. En effet, comment rendre raison, d'après cette hypothèse, du sentiment agréable de fraîcheur, que semblent éprouver les animaux échauffés et haletans de fatigue, lorsqu'ils respirent un air frais, chargé d'oxygène ?

Ἐν τοῖς ἑξῆς τρισὶ κεφαλαίοις, ἔνθα περὶ τοῦ ὕδατος, ἔθους, καὶ φαρμάκων γίνεται λόγος, οὐκ ἐλάττω δεξιότητα καὶ παιδείαν ὁ συγγραφεὺς ἀπέδειξεν. Ἐν τῇ τῶν ἀποτελεσμάτων τοῦ πολυχρονίου ἔθους ἐκθέσει, χάριν παραδείγματος, ἀναχωρητοῦ τινος Κυριακοῦ μέμνηται, ὃς πολλὰ ἔτη σκίλλῃ μόνῃ ἐτρέφετο.

Μετὰ τὸ, ἐν τῷ ιά. κεφαλαίῳ, ὃ τὸ ἔσχατον τοῦ ά μέρους ἐστι, τὴν βρῶσιν θεωρῆσαι ἐν γένει, συμπεραίνων ἀποφαίνεται τροφὴν οἰκειοτάτην εἶναι τὴν ἐκ φυτῶν καὶ ζώων συγκειμένην, ἣν ἡ φύσις γενικωτάτως τῷ ἀνθρώπῳ προσφέρει· αὕτη γὰρ ἡ μίξις ἐπιτηδειοτάτη ἐστιν ἰσχυροποιεῖν, θυμόν τε ἐπιδιδόναι, καὶ μάλιστα ἀποδιοπομπεῖσθαι τὴν σῆψιν, ὡς οὐ μόνον τὸ ἰσόῤῥοπον τῶν σωματικῶν καὶ ψυχικῶν δυνάμεων (ὃ πολλοῦ λόγου ἄξιόν ἐστι) συντηροῦσα, ἀλλὰ καὶ τὴν ἀγριότητα καὶ ἀσθένειαν ἐκποδὼν οὐχ ἧττον ποιοῦσα· καὶ ὅσα τῶν ἐθνῶν μικταῖς οὕτω τροφαῖς χρῆται, ταῦτα καὶ τῶν ἄλλων ἐστὶν ὑπέρτερα.

Τὸ β'. μέρος τὸ κύριον τοῦ πονήματος ὑποκείμενον ἀπεργάζεται· ἔνθα ὁ συγγραφεὺς τὴν ἰατρικὴν ἀμύνεται ὑπὲρ τῶν ὕβρεων, ἃς οἱ ἀπαίδευτοι, καὶ οἱ τούτων ὀλεθριώτεροι οἱ ἡμίσοφοι, κατὰ τῆς σωτηριώδους ταύτης τέχνης ἐτόξευσαν. Τουτὶ τὸ μέρος εἰς ιή· κεφάλαια διῄρηται. Ἐν τῷ ά· κεφαλαίῳ λόγος γίνεται περὶ τοῦ ἰατροῦ, περὶ τῶν ὀλιγίστων δηλονότι πεπαιδευμένων ἀνδρῶν, οἷς συμβαίνει τοῖς κάμνουσιν ἐπικουρεῖν· ὁ γὰρ συγγραφεὺς τοὺς μόνῳ τῷ ὀνόματι ἰατροὺς, τοῦδε τοῦ φύλου ἀποκλείει.

Τῷ ἀξιώματι τῶν εὐτυχησάντων καὶ ἐπιφανεστάτων ἐν τῇ μεταχειρίσει τῆς ἰατρικῆς γενομένων ἐρεισθόμενος, περισπουδάστως συνίστησι τὸν τοῦ ἰδίου σκοποῦ τυχεῖν ἐφιέμενον ἰατρὸν,

L'auteur n'a pas montré moins d'art et de connoissance dans les trois chapitres suivans, qui roulent sur l'eau, l'habitude et les médicamens. Il cite, en parlant des effets d'une longue habitude, l'exemple remarquable d'un anachorète, nommé Cyriacus, qui pendant plusieurs années fit sa nourriture habituelle d'oignon de scille.

Après avoir considéré les alimens en général dans le chap. XI, qui termine cette première partie, il conclut que la nourriture la plus convenable est celle qui est partie végétale, partie animale : c'est celle que la nature offre le plus généralement à l'homme ; ce mélange est le plus propre à donner des forces et de la vigeur, et surtout à prévenir la putridité. Non-seulement il conserve l'équilibre qui doit essentiellement subsister entre les forces du corps et celles de l'ame, mais il éloigne également de la férocité et de la foiblesse. Les nations qui vivent ainsi d'alimens mélangés, sont supérieures aux autres.

La seconde partie constitue l'objet propre de l'ouvrage ; l'auteur y venge la médecine des invectives que lancent contre cet art salutaire, des gens qui n'ont aucune connoissance, ou des demi-savans, qui sont encore plus pernicieux. Cette partie est divisée en dix-huit chapitres : le premier roule sur le médecin, c'est-à-dire sur le petit nombre d'hommes instruits, chargés de secourir les malades ; car l'auteur donne l'exclusion à ceux qui ne sont médecins que de nom.

Appuyé de l'autorité des hommes qui se sont rendus les plus célèbres par leurs succès dans la pratique, il veut que le médecin, pour remplir l'objet qu'il se

διὰ παντὸς πολλὴν ἐπιμέλειαν καὶ σπουδὴν ποιεῖσθαι περὶ τῶν καμνόντων, μάλιστα ἐν τῇ τῶν ὀξειῶν νόσων θεραπείᾳ, οἷον ἐν τῇ πλευρίτιδι καὶ περιπνευμονίᾳ· ἅτε δὴ καὶ τῶν γενναιοτάτων φαρμάκων τότε μόνον εὐτυχούντων, ὅτε τούτοις ἐν καιρῷ χρώμεθα· ὁ οὖν σοφὸς συγγραφεὺς παροτρύνει πρὸς τὴν φλεβοτομίαν ἐν αὐτῇ τῇ τῆς νόσου ἀρχῇ καταφεύγειν· δεῖ γὰρ ταύτην, ὡς μόνην πολλάκις τὸν ἀσθενῆ σῶσαι ἔχουσαν, τῶν ἄλλων πάντων προηγεῖσθαι φαρμάκων· ἡ τοῦ ἐξαγομένου αἵματος ποσότης τῇ βίᾳ τοῦ πάθους ἔγω ἀνάλογος· ἔσθ' ὅτε δὲ ἡ τῆς φλεβὸς σχάσις καὶ ἐκ δύο ἅμα μερῶν τοῦ σώματος γενέσθω, ἢ δὶς καὶ πολλάκις τῆς ἡμέρας ἐπαναλαμβανέσθω· ἄλλως γὰρ ὁ κάμνων ἀποπνιγεὶς ἀπόλλυται, ἢ πάντα τὸν βίον ἀῤῥώστως τὸ σῶμα διατίθεται.

Περὶ τῆς τῶνδε τῶν παραγγελιῶν ὠφελείας ἐκ πολυχρονίου ἐμπειρίας πεισθείς, οὐ δύναμαι ἐμαυτὸν τῇ τῶν αὐτὰς καταφρονούντων μερίδι συγκατατάξαι· τάχα δ' ἄν τις καταναγκασθείη πιστεῦσαι, ὡς οὗτοι οὐ μόνον οὐδέποτε τῷ Ἀσκληπείῳ προσεπέλασαν, ἀλλ' οὐδ' εἰς τοῦτο εἰσδεχθῆναι ὑπάρχουσιν ἄξιοι· πάντες γὰρ οἱ τοῦδε τοῦ θεοῦ ἀληθεῖς θεράποντες ἀεὶ τὴν φλεβοτομίαν περὶ πολλοῦ ἐποιήσαντο. Τίς γὰρ ἀγνοεῖ αὐτὴν καθ' ἑκάστην ἡμέραν μυρίους ἀσθενεῖς ἀνελπίστους, οἳ ἤδη πρανεῖς κατὰ τοῦ ἄδου ἐφέροντο, διασώσασαν· Οἱ περικλεέστατοι τῶν πάλαι ἰατροί, καὶ μάλιστα ὁ Ἱπποκράτης αὐτὸς, οἳ τὴν ἐσχάτην τοῦ ἡρωϊκοῦ τοῦδε βοηθήματος ὠφέλειαν σαφῶς κατενόησαν, καὶ τὰς περιστάσεις ἐν αἷς τοῦτ' οἰκεῖόν ἐστιν, ἐνέδειξαν, μεγίστης τιμῆς καὶ δόξης παρ' ἅπασιν ἠξιώθησαν. Τοῖς ἴχνεσι τῶν δὲ τῶν ἐνδόξων ἀνδρῶν πολλοὶ τῶν νεωτέρων ἰατρῶν ἑπόμενοι, οἷοι οἱ Δουρέτοι, οἱ Βαϊλλώνιοι, οἱ Συδενάμοι, οἱ Χιρά-

propose, apporte toujours la plus grande vigilance et la plus grande activité, surtout dans le traitement des maladies aiguës, telles que la pleurésie et la péripneumonie : convaincu qne les remèdes les plus importans ne réussissent qu'autant qu'ils sont employés à temps, il recommande de recourir à la saignée dès le premier abord de la maladie, car comme souvent elle est le seul moyen de sauver le malade, elle doit précéder tous les autres remèdes; il faut tirer du sang en proportion de la violence de la maladie, quelquefois de deux parties à la fois, ou au moins réitérer la saignée une seconde fois et même plus dans la journée, sans quoi le malade périt suffoqué, ou il reste infirme toute sa vie.

Une longue expérience m'ayant convaincu de l'importance de ces préceptes, je ne puis adopter l'opinion de ceux qui les méprisent; on seroit tenté de croire que jamais ils n'ont approché du temple d'Esculape, et qu'ils ne sont pas même dignes d'y être admis, puisque tous les vrais ministres de ce dieu ont toujours fait le plus grand cas de la saignée, car qui ignore qu'elle arrache tous les jours des bras de la mort des milliers de malades absolument désespérés? Les médecins les plus célèbres de l'antiquité, Hippocrate surtout, qui ont mérité l'estime et la considération publique, ont reconnu évidemment la nécessité absolue d'employer ce remède héroïque, et ils ont indiqué les circonstances où il convient. C'est en marchant sur les traces de cet homme illustré, que se sont immortalisés quantité de médecins modernes, tels que les Durets, les Baillous, les

κιοι, οἱ Βουβάρδοι, καὶ ἄλλοι οὐκ ὀλίγοι, κλέος ἀθάνατον ἐν τῇ ἰατρικῇ ἤραντο, οἱ δὲ τὴν ἐναντίαν τραπόμενοι, ἐν τῷ τῆς λήθης ζόφῳ κεῖνται ἀϊδηλοι, ἅτε δὴ σπανίως τῆς αὐτῶν πράξεως εὐτυχῆ σχούσης ἔκβασιν.

Παραιτοῦμαι ὑμᾶς, ἄνδρες ἔνδοξοι, συγγνώμην ἔχειν μοι τῆσδε τῆς παρεκβάσεως, εἰς ἣν με τὸ κοινῇ συμφέρον παρέσυρεν· ἀλλ' εἰς τὸν ἡμέτερον συγγραφέα ἐπανιτέον· ἐν τῷ τέλει τοῦδε τοῦ κεφαλαίου τοὺς ἰατροὺς παροτρύνει μεγίστην εὐλάβειαν ποιεῖσθαι, ἵνα μὴ ἐν τῇ διαγνώσει τῆς νόσου ἁμάρτωσι, σπουδαίως τε τὴν φύσιν καὶ κρᾶσιν τοῦ πάσχοντος ἐρευνᾷν, προσέτι τῇ κατασάσει τοῦ ἀέρος τὸν νοῦν προσέχειν· καὶ γὰρ τὰ περὶ τὴν διάγνωσιν τῶν νοσημάτων γενόμενα ἁμαρτήματα δύναται τὴν νόσον ἀνίατον, ἢ δυσίατον ἀπεργάσασθαι.

Ἐν τοῖς ἑξῆς κεφαλαίοις τῶν ἀναριθμήτων ὑπὸ τῶν καμνόντων τῇ θεραπείᾳ ἐμποιουμένων κωλυμάτων, κατάλογον ἐκ μέρους ποιεῖται, λόγῳ τοῦ γένους, τῆς ἡλικίας, τῆς κράσεως, τῆς ἰδιοσυγκρασίας, τῆς ἀγωγῆς, τῆς ἰδίας φύσεως, τῆς φαντασίας, τῶν προλήψεων, καὶ τῶν παθῶν τῆς ψυχῆς.

Τὰς ἑκατέρῳ τῷ φύλῳ ἰδίας νόσους ἀριθμῶν, παρατηρεῖ ὡς αἱ γυναῖκες λόγῳ τῆς ἀσθενείας καὶ μαλακότητος τῶν σεῤῥῶν μερῶν, πλείοσι νόσοις, ἢ οἱ ἄνδρες ὑπόκεινται, ἧττον δὲ τῇ πλευρίτιδι καὶ περιπνευμονίᾳ καὶ ποδάγρᾳ περιπίπτουσι· καὶ συνεχέστερον μὲν ὑπὸ τῶν ἐπιδημίων καὶ διαδοσίμων νόσων προσβάλλονται, πλειστάκις δὲ ἐξ αὐτῶν ἀναδύονται· καὶ ἐκ τῆς ἀνὰ σάρκα ὑδρωπίσεως ῥᾷον τῶν ἀνδρῶν θεραπεύονται, καὶ ἧττον τῇ ἀποπληξίᾳ καὶ ἐπιληψίᾳ ὑπόκεινται· ἡ δὲ φύσις, τοῦτό γε τὸ εὐτύχημα, φρικώδει τινὶ τρόπῳ ἀντικαταλλάξασθαι

denhams, les Chiracs, les Bouvards et quantité d'autres. Les noms de ceux qui ont suivi une marche opposée sont tombés dans l'oubli, parce que le succès a rarement couronné leur pratique.

Pardonnez, Messieurs, cette disgression où m'a entraîné l'amour de l'humanité. Je reviens à mon auteur. Il recommande en terminant ce chapitre, d'user des plus grandes précautions pour ne pas se tromper dans le diagnostic, d'examiner sérieusement la constitution et le tempérament du malade, et de ne pas négliger de faire attention à l'état de l'atmosphère, car les erreurs commises à l'égard du diagnostic peuvent rendre une maladie incurable, ou au moins très-difficile à guérir.

Dans les chapitres suivans, il passe en revue une partie des obstacles innombrables que les malades offrent à leur guérison, en raison du sexe, de l'âge, du tempérament, de l'idiosyncrasie, de l'éducation, de la constitution particulière, de l'imagination, des préjugés et des affections de l'ame.

Il observe, en parlant des maladies particulières aux deux sexes, que les femmes, en raison de leur foiblesse et de la molesse des solides, sont sujettes à un plus grand nombre de maladies, qu'elles sont cependant moins exposées aux pleurésies, à la péripneumonie et à la goutte; qu'elles gagnent plus aisément les maladies épidémiques et pestilentielles; mais qu'elles en réchappent plus communément que les hommes. Elles ont aussi l'avantage de guérir plus facilement de l'anasarque, d'être moins sujettes à l'apoplexie et à l'épilepsie; néanmoins la nature semble avoir compensé, d'une

φαίνεται, συνεχέσερον γὰρ τῶν ἀνδρῶν ὑπὸ τῆς φθίσεως καὶ τοῦ καρκίνου ἀπόλλυνται. Δύσληπτοι αἰτίαι τὰς ἑκατέρῳ τῷ φύλῳ ἰδίας νόσους, νῦν μὲν εὐιάτους, νῦν δὲ δυσιάτους ποιοῦσι. Καὶ ἡ τῆς κατασκευῆς δὲ τῶν μερῶν διαφορὰ τινὰς νόσους μᾶλλον ἢ ἧττον κοινὰς, καὶ μᾶλλον ἢ ἧττον δυσιάτους ἀπεργάζεται· παραδείγματος χάριν, οὐδένα λανθάνει ὅτι διὰ τῆς ἰδίας τῶν μερῶν κατασκευῆς, ὁ τῆς κύσεως λίθος συνεχέσερος καὶ δυσιατώτερος ἐν τοῖς ἀνδράσιν ἢ ἐν ταῖς γυναιξίν ἐσι.

Τίς οὐκ ἂν σενάξειεν ἐς νοῦν ἀναλαβὼν τὸ σμῆνος τῶν δεινῶν ἀσθενειῶν, αἷς αἱ γυναῖκες συνέχονται παρθενεύουσαι, ἢ ἀνδρὶ συγκαταζευχθεῖσαι; ἐν πόσαις γὰρ συμφοραῖς οὐ καθίσανται, τῆς ἥβης προσπελαζούσης; νῦν μὲν γὰρ ἡ περιοδικὴ ῥύσις δυσχερῶς γίνεται, νῦν δὲ πρώϊμος ἐπέχεται, ἢ μειοῦται, ἢ καταῤῥήγνυται· ἡ δὲ ὑποδεξαμένη, ἢ ὠδίνουσα γυνὴ ὀλεθριωτάτοις συμβᾶσιν ὑποκειμένη ἐσιν· ἡ δὲ κυοφορία οὐ μόνον πηγὴ τῶν κακῶν ἐσιν ἄφθονος, ἀλλὰ καὶ τὰς κατ' αὐτὴν συμβαινούσας τῶν νόσων δυσιατωτέρας ποιεῖ.

Καὶ ἡ νηπιότης πολλαπλάσια ὡσαύτως ἴδια αὐτῇ νοσήματα ἔχει, ὅιον τὴν ὀφθαλμίαν, τὴν γαλακτώδη ἐσχάραν, τοὺς ἕλμινθας, τὴν ῥαχίτιδα, τὴν ψώραν, τὰ ἐξανθήματα, τὸν βῆχα, καὶ τὴν φάρυγγος καὶ λάρυγγος φλεγμονήν· τοῖς δὲ τῇ ἥβῃ προσπελάζουσι, τῆς πλευρίτιδος, τῆς τῶν ῥινῶν ἐπισάξεως, τῆς αἱμοπτύσεως καὶ φθίσεως κίνδυνος ἔνεσιν. Ἰδίως δ' οἱ γέροντες ταῖς αἱμορῥοΐσιν ὑπόκεινται.

manière terrible, cet avantage, car elles périssent plus souvent de la phthisie et du cancer. Des causes impénétrabes rendent les maladies propres à l'un et à l'autre sexe, plus ou moins faciles à guérir. La structure différente des parties rend aussi certaines maladies plus communes ou plus rebelles; par exemple, personne n'ignore qu'en raison de la structure des parties, le calcul est plus commun et plus difficile à guérir chez l'homme que chez la femme.

Qui peut, sans gémir, réfléchir sur la multitude d'infirmités graves qui tourmentent les femmes, soit qu'elles restent vierges ou qu'elles s'unissent par les liens de l'hymenée; à combien d'accidens ne sont-elles pas exposées aux approches de la puberté? tantôt l'écoulement périodique s'établit avec peine, tantôt il se supprime prématurément, ou il coule trop peu ou trop abondamment : la grossesse, l'accouchement et ses suites sont sujets à de terribles catastrophes. La grossesse est non-seulement une source féconde de maux, mais elle rend les maladies qui surviennent pendant ce temps, plus difficiles à guérir.

La première enfance a aussi une foule d'infirmités, qui lui sont particulières, telles que l'ophthalmie, la croûte de lait, les vers, le rachitis, la gale, les exanthèmes, la toux, l'inflammation du larynx et du pharynx. Ceux qui approchent de l'adolescence, sont menacés de pleurésie, de péripneumonie, d'hémorrhagies du nez, d'hémoptysie et de phthisie. Les vieillards sont sujets aux hémorrhoïdes.

Αὗται αἱ νόσοι μᾶλλον ἢ ἧττόν εἰσι δυσίατοι διὰ τὴν διαφόρων περισάσεων συνδρομήν· οἷον ἡ φλυκταίνουσα λοιμικὴ, λόγῳ τῆς ὀδοντοφυίας, ὀλεθριωτέρα τοῖς μή πω εἰς τὸ δεύτερον ἔτος ἑλκηλακόσι νηπίοις, ἢ τοῖς τήνδε τὴν ἡλικίαν ὑπερβᾶσιν, ὑπάρχει· ἐκ τούτου οὖν πᾶσι φανερὸν γίνεται ὡς τὸν θαμαλισμὸν ἰδίως τοῖς νεογνοῖς ἐγκεντρίζειν ὀφείλομεν.

Πᾶσαι αἱ νόσοι, εἴτε ὀξεῖαι, εἴτε χρόνιαι, δυσιατώταται γενικῶς ἀποβαίνουσιν ἐν τοῖς τὴν ἕξιν μάλιστα ἐῤῥωμένοις, διὰ τὸ δι' ἀμέλειαν μὴ ἐν τῷ προσήκοντι καιρῷ τὰς βοηθείας ταύταις ποιήσασθαι, αἷς τὴν τῶνδε προκοπὴν ὡς ῥᾷστα κατασχεῖν οἷόν τ' ἦν· ἡ γὰρ φύσις τὰς δυνάμεις αὐτῆς ματαίαις ἐγχειρήσεσιν ἐκκενώσασα, συνεργεῖν τῷ ἰατρῷ προσκληθέντι οὐ δύναται.

Οἷα δ' ἐξαιρέτως κωλύματα τῷ ἰατρῷ ἐν τῇ τῶν βρεφῶν θεραπείᾳ ἐμποδὼν γίνεται; οὐ μόνον γὰρ ἃ πάσχει δεινὰ ἀποφαίνειν οὐ δύναται, ἀλλὰ καὶ δεινῶς καὶ ἀμέτρως φέρει τῶν χρησιμωτάτων τι φαρμάκων καταπίνειν, καὶ νῦν μὲν διὰ φόβον, νῦν δὲ διὰ δολοφροσύνην αὐτὰ ἀποῤῥίπτει. Τελευταῖον δὲ, πολλά γε τῇ νηπιότητι ἴδια νοσήματα μόνον θεραπεύεται, τῆς τῶν νηπίων φύσεως, αὐξανομένῃ τῇ ἡλικίᾳ, συμμεταβαλλομένης.

Ἀλλὰ μὴν δυνατόν ἐστιν ὥστε πᾶσαν σπουδὴν καὶ προθυμίαν περὶ τὴν θεραπείαν, ποιεῖν ματαίως καὶ τὸν ἐμπειρότατον ἰατρὸν, διὰ τὸ μὴ ἐξαρκούντως ἐξερευνῆσαι τὴν τοῦ κάμνοντος, ὃν θεραπεύει, ἰδιοσυγκρασίαν. Πολλοὶ γὰρ ὑπάρχουσιν, οἳ διὰ φύσιν καὶ κρᾶσιν αὐτοῖς ἰδίαν, ἢ κληρονομικήν τινα διάθεσιν, νόσοις τισὶν ὑπόκεινται, αἳ διὰ τὴν κουφοτάτην αἰτίαν περιοδικῶς ὑποτρέφειν εἰώθασιν·

Ces maladies sont plus ou moins difficiles à guérir par le concours de divers circonstances ; ainsi les petites véroles sont, en raison de la dentition, plus funestes chez les enfans qui n'ont pas atteint l'âge de deux ans, que chez ceux qui ont passé cet âge, d'où il est évident que la vaccination est particulièrement recommandable pour les nouveaux nés.

Toutes les maladies, aiguës, ou chroniques, deviennent en général très-rebelles chez les hommes les mieux constitués, parce qu'on a négligé d'administrer, dans le temps convenable, les remèdes les plus propres à arrêter les progrès de ces maladies; la nature, épuisée par les vains efforts qu'elle a faits, refuse de seconder les vues du médecin lorsqu'il est appelé.

Que d'obstacles surtout ne rencontre-t-on pas, lorsqu'on a de jeunes enfans à traiter? non-seulement ils ne sont pas en état d'indiquer les maux qu'ils ressentent, mais ils ont une répugnance insurmontable à prendre les médicamens convenables; ils les rejettent même quelquefois par crainte ou par malice. Enfin, plusieurs maladies propres à l'enfance ne se guérissent qu'à mesure que la constitution change avec l'âge.

Il est même possible que toutes les tentatives que fait le médecin le plus habile, soient vaines, parce qu'il n'a pas étudié suffisamment le tempérament particulier de l'individu qu'il a à traiter. Ainsi on en rencontre qui, en raison de leur tempérament, de leur constitution particulière, ou d'une disposition héréditaire, sont sujets à des maladies, que la plus légère cause détermine à revenir périodiquement, telles sont

οἷαί εἰσι τὸ ἐρυσίπελας, ἡ κόρυζα, ἡ κυνάγχη, ὁ ἴκτερος, καὶ πολλαὶ ἄλλαι, ὧν ἡ θεραπεία λίαν δυσχερὴς, ἐπεὶ οὐχ οἷόν τε τὴν πρωτότυπον τοῦ σώματος καθελεῖν διάθεσιν. Τὰ αὐτὰ καὶ περὶ τῶν κοινῶς κληρονομικῶν λεγομένων νόσων, οἷον ἀρθρίτιδος, ἐπιληψίας, λιθιάσεως, φθίσεως, ἀποπληξίας, κ. τ. λ. νοείσθω.

Προσέτι αἱ τοῦ σώματος δυσμορφίαι κοιναί εἰσιν αἰτίαι νοσημάτων, ἃ πάντων τῶν φαρμάκων τὴν δύναμιν διαφεύγει· ἀπόδειξις τούτου εἰσὶν ἡ ἐπιληψία καὶ ἀποπληξία, πολλάκις ὑπὸ τῆς φαύλης τοῦ κρανίου διαπλάσεως, καὶ τοῦ βραχέος λαιμοῦ ἐμποιούμεναι· οἱ ὠμοπλάτας ἐξεχούσας, καὶ στῆθος ἐξωμαλισμένον καὶ ἐσφιγμένον ἔχοντες, αἱμοπτύσει, ἄσθματι, καὶ πολλαῖς ἄλλαις ἀνιάτοις τοῦ στήθους νόσοις ὑπόκεινται.

Ἡ ἐν γυναιξὶ μοχθηρὰ τῆς λεκάνης κατασκευὴ πολλάκις δυσχερῆ ἢ καὶ ἀδύνατον τὸν τοκετὸν ἀπεργάζεται. Ὅθεν δὴ Εὐριπίδης τὴν Μήδειαν ἐν τῇ τὸ ὄνομα ταύτης φερούσῃ τραγῳδίᾳ ποιεῖ λέγουσαν, στιχ. μή.— νά·

» Λέγουσι δ' ἡμᾶς, ὡς ἀκίνδυνον βίον
» Ζῶμεν κατ' οἴκους, οἱ δὲ μάρνανται δορί,
» Κακῶς φρονοῦντες· ὡς τρὶς ἂν παρ' ἀσπίδα
» Στῆναι θέλοιμ' ἂν μᾶλλον ἢ τεκεῖν ἅπαξ.

Πολλάκις διὰ τοὺς φύσει, ἢ διὰ τὴν παροῦσαν νόσον, τῆς ἀκοῆς καὶ τοῦ λόγου στερηθέντας, ὁ ἰατρὸς οὐκ ὀλίγων πειρᾶται δυσχερειῶν· πολλαῖς γὰρ νόσοις οὐκ ἔστιν ἱκανὰ παθογνωμονικὰ καὶ χαρακτηριστικὰ σημεῖα, ὥσθ' ἡμᾶς ταύτας γνῶναι καὶ τὴν αὐτῶν φύσιν ἀκριβῶς διακρίνειν δύνασθαι· πολὺς γάρ ἐστιν

l'érysipèle, le coryza, l'esquinancie, la jaunisse et quantité d'autres, dont la guérison est extrêmement difficile, parce qu'on ne peut détruire la disposition primitive de l'individu. Il en est de même des maladies, vulgairement appelées héréditaires, telles que la goutte, l'épilepsie, la gravelle, la phthisie, l'apoplexie, etc.

Les vices de conformation sont encore une cause fréquente de maladies qui éludent tous les remèdes : ainsi l'épilepsie et l'apoplexie, sont souvent produites par un vice de conformation du crâne, réuni à un col court. Ceux qui ont les omoplates saillantes, le thorax applati et serré, sont sujets à l'hémoptysie, à l'asthme et à quantité d'autres affections de poitrine incurables.

La mauvaise conformation du bassin rend souvent l'accouchement très-difficile et même impossible chez les femmes. Aussi Euripide fait-il dire à Médée, dans la tragédie qui porte ce nom, vers 48—51 :

« Les hommes s'imaginent que, retirées dans le sein de notre famille, nous menons une vie à l'abri de tout danger, tandis qu'ils combattent le fer à la main; mais ils se trompent bien, car j'aimerois cent fois mieux me couvrir d'un bouclier et aller braver l'ennemi que de donner le jour à un seul enfant. »

Les individus privés naturellement, ou par l'effet de la maladie, de l'ouie, ou de la parole, jettent souvent le médecin dans un grand embarras, car quantité de maladies n'offrent pas des signes pathognomoniques, suffisamment caractérisés, pour qu'on puisse les reconnoître et juger parfaitement de leur nature. Si leur

ὁ τῶν νόσων ἀριθμὸς, τάτε αὐτῶν σημεῖα πολυπληθέστερα. Οὐ μὴν ἀλλὰ ταῦτα τὰ σημεῖα οὐκ ἀσφαλῆ ὑπάρχει, ἅτε δὴ θαμινὰ κατὰ μικρὸν τῷ δεινῷ αὔξοντι συμμεταβαλλόμενα, καὶ ὅστις ἑνὶ ἐκείνων μόνον τὸν νοῦν προσέχει, μᾶλις' ἂν κινδυνεύοι ἁμαρτάνειν ἐν τῇ προγνώσει· ἡ πλειόνων οὖν σημείων συλλογὴ πολλοῦ λόγου ἄξια ἐστὶν εἰς τὴν τῶνδε τῶν ἁμαρτημάτων ἔκκλισιν. Πολλὰ συμπτώματα λόγῳ τῆς τοῦ κάμνοντος φύσεως, τῶν ὡρῶν, καὶ πολλῶν ἄλλων περισάσεων διαφέρει· καὶ τὸ τελευταῖον, οὐδεμία νόσος ὁμοία ἑαυτῇ τὰ πάντα ἐν πᾶσι, καθ' ἕνα ἕκαστον, τοῖς ἀνθρώποις ἐστίν.

Ὁ πρὸς πάντα ταῦτα ἀμελῶς ἔχων ἰατρὸς, οὐδεμίας συγγνώμης ἄξιος ἂν τυγχάνοι· δεῖ οὖν αὐτὸν ἀκριβῶς ἐξετάζειν πάντα τὰ πρὸ τῆς νόσου συμβάντα, τὸν τρόπον καθ' ὃν ἡ νόσος ἤρξατο, τὰ ταύτην γεννήσαντα αἴτια, πρὸ πάντων δὲ ἕκαστα τῶν δεινῶν, ἃ ὁ κάμνων πάσχει· τελευταῖον, ἀεὶ τὸν νοῦν προσεκτέον τοῖς παθήμασιν, ἃ δεινὰς συμπλοκὰς ἐμποιῆσαι δύναται.

Ἀλλά γε πολὺ μᾶλιστα ὁ ἰατρὸς τῶν δυσχερειῶν τῶν ἐν τῇ τῆς τέχνης μεταχειρίσει διάπειραν ποιεῖται, ὅταν τὴν τῶν ἀγροίκων, καὶ μηδεμιᾶς ἀγωγῆς τυχόντων, θεραπείαν ἐπιχειρῇ· οἱ μὲν γὰρ εὖ γεννηθέντες τε καὶ πεπαιδευμένοι ὥσπερ ἐν ταῖς κοιναῖς ὁμιλίαις κόσμιοι καὶ εὐάγωγοι εἰσὶν, οὕτως αὐτοὶ καὶ κάμνοντες εὐαγωγότεροι καθόλου εἰσὶ· κατ' αὐτὴν γὰρ τὴν ἀρχὴν τῆς νόσου τὸν ἰατρὸν προσκαλοῦσι, καὶ τὰς τούτου παραγγελίας ἐς τὸ ἀκριβὲς ἐκτελοῦσι. Τὸ δὲ πλῆθος ὀλιγάκις ἐν τῇ ἀρχῇ τῆς νόσου,

nombre est immense, les signes variés qu'ils présentent sont encore plus nombreux. Ces signes sont en outre infidèles, ils changent fréquemment à mesure que le mal fait des pogrès ; quiconque fixeroit uniquement son attention sur l'un d'eux, courroit grand risque de commettre des erreurs graves relativement au prognostic; la réunion de plusieurs signes est donc essentielle pour éviter ces erreurs. Il y a des symptômes qui varient en raison de la nature du malade, de la saison et d'une infinité d'autres circonstances ; enfin, aucune maladie ne se ressemble entièrement chez différens individus.

Tout médecin qui négligeroit de s'instruire de tous ces détails, seroit coupable d'une négligence impardonnable ; il doit s'informer exactement de tout ce qui a précédé, de la manière dont la maladie a commencé, des causes qui l'ont déterminée, et surtout de tous les symptômes que ressent l'individu qui en est attaqué ; enfin, ne pas perdre de vue les affections capables de produire des complications funestes.

Mais le médecin n'éprouve jamais plus de difficultés dans l'exercice de son art, que quand il a affaire à des hommes grossiers, sans éducation ; ceux qui sont bien nés et dont l'esprit est cultivé, sont toujours plus lians et plus traitables dans le commerce de la société ; ils ne changent point quand ils sont malades, ils sont en général plus dociles; ils ont plutôt recours au médecin, ils l'écoutent avec plus d'empressement, et ils exécutent plus ponctuellement ses ordres. Le vulgaire au contraire ne consulte guère les gens instruits dans

ἡνίκα αὕτη εὐϊατωτέρα ἐςι, τὸν ἰατρὸν μεταπέμπεται, ἀλλὰ τὰ πολλὰ τότε μόνον τοῦτον καλεῖν διανοεῖται, ὅτε ὑπὸ ἀφορήτων ἀλγηδόνων βιάζεται, καὶ πολλάκις ὅταν ἡ νόσος ἤδη ἀνίατος γένηται. Οἱ ἐκ ταύτης τῆς τάξεως ἄνθρωποι, καίτοι κατὰ τύχην, καὶ ἐν καιρῷ τὸν ἰατρὸν εἰς συμβουλὴν παρακαλούμενοι, πολὺ προσέτι ἐξαμαρτάνειν πεφύκασιν· ἢ γὰρ ὑπὸ αἰσχύνης, ἢ δι' ἄγνοιαν, τὰ οὐσιωδέςατα τῶν αἰτίων σιγῇ παρέρχονται, ἢ σαφῶς ταῦτα ἐξηγεῖσθαι οὐκ ἔχουσιν, ἢ τοῦ χρῆσθαι ἀκριβῶς τοῖς φαρμάκοις τοῖς προςεταγμένοις ὀλιγωροῦσιν, ἢ τὸ τελευταῖον δίαιταν μηδεμίαν πρέπουσαν τηροῦντες, παντοίων βρωμάτων ἀφρόνως ἐμπίπλανται.

Καὶ αἱ ψευδεῖς εὐθὺς ἐκ παίδων τῇ διανοίᾳ ἐνεςαγμέναι δόξαι, καὶ ἡ τοῦ κάμνοντος ἐπὶ τὸν ἰατρὸν τὸν προσκεκλημένον, καὶ ἐπὶ τὰ φάρμακα πεποίθησις, μεγάλην ὡσαύτως ἐν τῇ τῶν νόσων θεραπείᾳ ροπὴν ἔχουσι. Πᾶν φάρμακον, οὗ τινος ἁπλήςως ἐπιθυμεῖ ὁ κάμνων, καὶ πᾶν γε ὅ τι ἐπαγωγῶς καὶ σὺν ἐπῳδαῖς προσφέρεται, σωτηριώδεις μεταβολὰς ἀπεργάζεται. Διὰ τοῦτο οὖν ὅταν τι νόσημα δεινὸν τῷ δήμῳ κατασκήπτῃ, πάνυ πολλοὶ τοῖς περιάμμασιν, ἃ ἑαυτοῖς περιάπτουσι πεποιθότες, οὐδοτιοῦν ὑπὸ τῆς νόσου πιέζονται· ἡ δυσπιςία δὲ τοὔμπαλιν τὴν νόσον δυσιατωτέραν, ἐνίοτε δὲ καὶ ἀνίατον ἀποτελεῖ. Τίς γὰρ ἀγνοεῖ ὡς ὁ μέγιςος φόβος τοὺς τῶν νευρικῶν νοσημάτων καὶ τῶν διαλειπόντων πυρετῶν παροξυσμοὺς, καὶ μετὰ πολὺν χρόνον ἐπισχεθέντας, θαμινὰ ἐπανακαλεῖ;

Ὡς τὰ βίαια τῆς ψυχῆς παθήματα φάρμακον σωτηριωδέςατον ἢ ὀλεθριώτατον ἀποβῆναι ἔχει, πάλαι ἤδη πρόδηλόν ἐςιν· ἐν βραχεῖ γε χρόνῳ τὰς νόσους ἰᾶσθαι, ἢ τοὐναντίον ἀνιάτους

le commencement de la maladie, lorsqu'elle est plus facile à guérir, il ne s'y décide communément que quand il est tourmenté par l'excès des douleurs, et souvent même lorsque le mal est devenu incurable. Les hommes de cette classe, qui par hasard consultent à temps, sont sujets à commettre d'autres fautes graves; ils omettent, par pudeur, ou parce qu'ils n'en connoissent pas la nécessité, de faire mention des causes les plus essentielles, ou ils s'expliquent mal, ou ils négligent de prendre avec exactitude les remèdes qui leur sont administrés, enfin ils refusent de s'astreindre à aucun régime, et ils se gorgent sans prudence d'alimens de toutes espèces.

Les préjugés auxquels l'imagination est livrée depuis l'enfance, la confiance que le malade a dans celui qui le traite et dans les médicamens, jouent aussi un grand rôle dans le traitement des maladies. Tout remède vivement désiré par le malade, ou prescrit avec un appareil imposant, produit des effets salutaires; c'est pourquoi les amulettes préservent quantité d'individus qui les portent avec confiance, lorsque les maladies épidémiques règnent. La méfiance au contraire rend le mal plus difficile à guérir, et quelquefois même incurable. Qui ne sait pas qu'une vive terreur rapelle fréquemment les paroxysmes des maladies nerveuses et des fièvres intermittentes, guéries depuis long-temps?

Il est reconnu que les vives affections de l'ame peuvent devenir un remède très-salutaire, ou un poison funeste, guérir en peu de temps, ou déterminer

ταύτας ἀπεργάζεσθαι αὐτὰ δύναται. Τί ἄν τις τῶν τῆς ὑδροφοβίας συμπτωμάτων, ὧν οἱ ὑπὸ λυσσώντων ἀνθρώπων δηχθέντες πειρῶνται, αἰτιώτερον εἶναι νομίσειεν ἢ τὸν φόβον; οὐδοτιοῦν γὰρ ἡ νόσος αὕτη τῷ ἀνθρώπῳ ἐστὶν οἰκεία. Ἀλλ' ἡ τῆς σωτηρίας ἀπόγνωσις τὸ μέγιστον τῶν δεινῶν ἐστιν· εὐτυχὴς δὴ ὁ ἰατρὸς, ὃς ἐν τοιαύταις περιστάσεσι τῆς τῶν καμνόντων δυσθυμίας κρατῆσαι, καὶ τούτοις ἐλπίδα ἐμποιῆσαι ἱκανός ἐστι.

Τὸ ια'. κεφάλαιον, ἐν ᾧ ὁ συγγραφεὺς ἰδίως περὶ τῶν τῆς ψυχῆς παθῶν πραγματεύεται, ἓν τῶν καλλίστων ἐστὶ· διὸ λυπούμεθα μηδεμίαν τούτου ἀπογραφὴν ἐκδεδῶσθαι ἔχοντες.

Ἐν τῷ ἑξῆς κεφαλαίῳ, ἐν ᾧ περὶ τοῦ ἱματισμοῦ λόγος γίνεται, ὁ σοφὸς ἀνὴρ τὰ περιστέρνια ἐλαστικὰ θωράκια, ἅπερ αὖθις φορεῖν ταῖς νέαις κόραις ἐπέτρεψαν, δεινῶς καὶ χαλεπῶς καταμέμφεται· καὶ ταῦτα ταῖς αἰτίαις, αἳ τὴν τοῦ πνεύμονος φθίσιν ταῖς φύσει εἰς ταύτην ἐχούσαις διάθεσιν, ἐμποιοῦσι, προσαριθμεῖ· αὐτὰ δὲ ταῦτα καὶ τὴν τῆς ῥάχεως κύρτωσιν καὶ τὸ ἆσθμα γεννᾷ, καὶ πάσας τὰς τοῦ στήθους νόσους ἐπιτείνει.

Αἱ διάφοροι τέχναι, καὶ ἡ ἑκάστῳ ἀνθρώπῳ ἰδία δίαιτα νόσων εἰσέτι ἀνιάτων καθόλου πηγαὶ ὑπάρχουσι· διττὰ δὲ τὰ τῶν ἀσχολιῶν γένη, ψυχικὰ δηλαδὴ καὶ σωματικά· τὰ δὴ πρῶτα ἰδίᾳ τὴν τοῦ ζώου οἰκονομίαν καταβιβρώσκοντα, λυμαίνονται ταύτῃ· διὸ πολλοὶ τῶν ἀμφὶ τὰς ἐπιστήμας ἐπιμελῶς σπουδαζόντων δυσπεψίαν τὰ πολλὰ πάσχουσι, καὶ ἐμφράξεσι, καὶ ὑποχονδριάσει, καὶ μυρίαις ἄλλαις νόσοις ὑπεύθυνοί εἰσι. Τῆς αὐτῆς μοίρας καθόλου ἔλαχον καὶ οἱ τὰ τῆς πολιτείας πράττοντες, καὶ σπουδαῖα πράγματα, οἷς πάνυ μάλα τὸν νοῦν προσέχειν ἀνάγκη, διηνεκῶς μεταχειρίζοντες.

les maladies les plus terribles, et la mort même. Peut-on attribuer à d'autre cause qu'à la terreur les symptômes d'hydrophobie qu'éprouvent ceux qui sont mordus par des hommes furieux, puisque cette maladie n'est pas propre à l'homme. Le désespoir est le plus terrible des fléaux : heureux le médecin qui, dans de pareilles circonstances, sait se rendre maître de l'imagination des malades, de manière à ranimer chez eux l'espérance.

Le chap. XI, dans lequel l'auteur traite particulièrement des affections de l'ame, est un des plus intéressans; nous regrettons de ne pouvoir en donner l'extrait.

Dans le chapitre suivant, qui traite des habillemens, l'auteur déclame vivement contre les corsets élastics qu'on commence à faire porter aux jeunes filles : il met ces corsets au nombre des causes qui déterminent la phthisie pulmonaire chez celles qui y sont naturellement disposées, qui produisent la distortion de la colonne vertébrale et l'asthme, qui enfin aggravent toutes les affections de poitrine.

Les arts et le genre de vie particulier à chaque individu sont aussi des sources de maladies généralement incurables. On distingue deux genres de travaux, ceux de l'esprit et ceux du corps, les premiers minent et épuisent particulièrement l'économie animale. Ainsi, une multitude de gens de lettres se plaignent d'avoir la digestion difficile; un grand nombre sont sujets aux obstructions, à l'hypocondrie et à une foule d'autres maladies. Les hommes chargés d'affaires politiques, et continuellement occupés d'objets sérieux qui exigent une grande contention d'esprit, éprouvent en général le même sort.

Καὶ οἱ πολυπονώτεροί γε τῶν ἐργατῶν ὡσαύτως ὑπὸ δεινῶν κακῶν σφίσιν αὐτοῖς ἰδίων πιέζονται· ἡ ψώρα καὶ ὁ ὕδρωψ συνεχῶς τοῖς ὑφάνταις καὶ ῥάπταις προσβάλλουσιν· ὅσοι τῶν χειροτεχνῶν ἔσωτες ἐργάζονται, ἀνευρίσμασι καὶ κιρσοῖς τῶν κάτω ἄκρων κατατρύχονται. Οἱ ἀμφὶ μύλην ὄντες, οἱ ἀρτοποιοὶ, καὶ λιθοτόμοι, καὶ πάντες οἱ ἐν τῷ ἐργάζεσθαι ἀέρα νέφεσι ποικίλων κόνεων συσκιαζόμενον, εἰσπνέοντες, βηχὶ δυσιάτῳ, αἱμοπτύσει, καὶ τῇ τοῦ πνεύμονος φθίσει ὑπόκεινται, ὥς που καὶ δεινῇ κωλικῇ οἱ τῷ μολύβδῳ συνεχῶς χρώμενοι ἐργάται. Τῇ δυσεντερίᾳ καὶ διαῤῥοίᾳ οἱ ἐν τοῖς στρατοπέδοις διάγοντες ἐνίσχονται. κ. τ. λ. Πᾶσαι γοῦν αὗται αἱ νόσοι, μὴ ἐν καιρῷ τῆς ἰάσεως γενομένης, ἀνίατοι εἰσίν.

Ἡ συνεχὴς ἐδεσμάτων τινῶν καὶ πομάτων χρῆσις πολλῶν γε νόσων ὡσαύτως αἰτία πολλάκις γίνεται· ἡ δὲ τῶν οἰνωδῶν μᾶλισα καὶ πνευματωδῶν πομάτων κατάχρησις ὕδρωπα καὶ παράλυσιν ἀνίατον ἐμποιεῖ, καὶ προσέτι τὰς ἄλλας νόσους πολλῷ μᾶλλον δυσιατωτέρας ἀπεργάζεται.

Καὶ ἡ τῆς ἐξ ἀραβικῶν δὲ κυάμων πόσεως κατάχρησις οὐκ ἔστι παντελῶς ἀβλαβής· ἰσχνότητα γὰρ τῷ σώματι ἐπάγει, ἐκχαυνοῖ τὰς ἶνας, ὑποχονδρίασίν τε καὶ αἱμορῥοΐδας, καὶ λευκόῤῥοιαν, καὶ τῶν νεύρων νόσους γεννᾷ· ἐν ταύτῃ τῇ τάξει καὶ ἡ τῆς θέης ταττέσθω κατάχρησις.

Καὶ αὐτὴ ἡ τῶν χρημάτων περιουσία, διὰ τὴν τῶν ἐχόντων ἀκράτειαν, τῇ ὑγείᾳ ἐπιβλαβὴς ὑπάρχειν δύναται. Ἀλλά γε ἡ μεγίστη πενία πολὺ ἐπιβλαβεστέρα ἐστίν· ἡ γὰρ τῶν ἐπιτηδειοτάτων ἀπορία εἰς μυρίας νόσους ἐμβάλλει τοὺς πένητας, καθ' ὧν

Les artisans les plus laborieux sont aussi accablés de fléaux qui leur sont propres; la gale et l'hydropisie sont très-communes parmi les tisserans et les tailleurs. Les ouvriers qui travaillent de bout, sont tourmentés d'anévrismes et de varices des extrémités inférieures. Les meûniers, les boulangers, les paveurs et tous les hommes qui travaillent habituellement dans une atmosphère obscurci par des nuages de poussière de différentes natures, sont exposés à des toux rebelles, à l'hémoptysie et à la phthisie pulmonaire; ceux qui emploient sans cesse le plomb, sont sujets à des coliques terribles. Les dysenteries et les diarrhées règnent dans les armées, etc. Toutes ces maladies sont sans ressource, quand elles ne sont pas prises à temps.

L'usage habituel de certains alimens et de certaines boissons est aussi une cause fréquente de plusieurs maladies. L'abus surtout des liqueurs vineuses et des spiritueux engendre des hydropisies et des paralysies incurables, et il rend les autres maladies beaucoup plus difficiles à guérir.

L'abus même du café n'est pas entièrement exempt de danger, il maigrit, relâche les fibres, détermine l'hypocondrie, les hémorrhoïdes, les fleurs blanches et les maladies nerveuses. On peut ranger dans la même classe l'excès du thé.

Les richesses peuvent devenir très-préjudiciables à la santé, par l'intempérance de ceux qui les possèdent; mais l'extrême pauvreté est infiniment plus funeste : car la privation des objets les plus essentiels à la vie, expose les pauvres à quantité de maladies

οὐδὲ τῇ προσηκούσῃ θεραπείᾳ χρήσασθαι οἱ δυσυχεῖς οὗτοι δύνανται. Διὰ τὴν τῶν χιτωνίσκων ἔλλειψιν, ὑπὸ φθειρῶν κατέδονται, καὶ ὑπὸ χρονίων καὶ δεινῶν νόσων τοῦ δέρματος κατατρύχονται· πολλάκις δὲ ὑπὸ νοσημάτων ὀξέων, καὶ πολλῆς ἐπιμελείας χρῃζόντων συνεχόμενοι, ἐπικουρίας παντελῶς ἔρημοι ὄντες, ἡττῶνται· διὸ, καὶ λοιμοῦ ἐπέχοντος, ὀλιγώτεροι Ὀθωμανοί, ἢ Εὐρωπαῖοι ἀπόλλυνται· περιφανὲς δὲ τούτου αἴτιον, ὡς οἱ μὲν Ὀθωμανοὶ τῇ Πεπρωμένῃ πιςεύοντες, ἀφόβως προσπελάζουσι τοῖς κάμνουσι, καὶ τούτοις τὰ δυνατὰ βοηθοῦσιν. Οἱ δὲ Εὐρωπαῖοι, καὶ ἐν τῷ ἰδεῖν τινα τῷ λοιμῷ ληφθέντα, φόβῳ κατεχόμενοι δεινῷ, καὶ γονεῖς αὐτοὺς, καὶ φίλους ἐξαιρέτους τῇ ξένων καὶ μισθωτῶν ἐπιμελείᾳ καταλιμπάνουσι. Γνωςὸν δ' ἐςιν ἅπασιν ὅσον ὀλίγιςον τοιαῖσδε πιςευτέον ἐπιμελείαις.

Ἐνταῦθα ὁ συγγραφεὺς, ἐν μακρᾷ τινι ὑποσημειώσει, σφόδρα πειρᾶται τοὺς Τούρκους τοῦ τῆς ἀκαθαρσίας ψόγου ἀφιέναι, ἣν τούτων οἱ ἐν Εὐρώπῃ σοφοὶ καθολικῶς κατηγοροῦσιν, αἰτίαν ταύτην τοῦ ἐν τῇ Ὀθωμανικῇ αὐτοκρατορίᾳ πλειςάκις ἐμπίπτοντος λοιμοῦ ὑπάρχειν οἰόμενοι· καὶ ἀποδεῖξαι ἀγωνίζεται, ὅτι οἱ ταύτῃ τῇ γνώμῃ συνομολογοῦντες λίαν ἐξηπάτηνται, ἅτε δὴ μηδεμίαν περὶ τῆς Τουρκίας γνῶσιν ἔχοντες. Διδάσκει γὰρ ἡμᾶς ὡς αἱ τῆς εὐρυχώρου τῆςδε αὐτοκρατορίας μεγάλαι πόλεις οὐχ ἧττον τῶν εὐρωπαϊκῶν εἰσὶ καθαραὶ, καὶ ὡς πλεῖςον διαψεύδονται τῆς ἀληθείας, οἱ τὸν τῇ ἀναθυμιάσει τῶν ῥυπαριῶν μιαινόμενον ἀέρα αἰτίαν τῆς γεννήσεως, ἢ ἐπαυξήσεως καὶ παρεκτάσεως τοῦδε τοῦ δεινοῦ λογιζόμενοι. Πρὸς γὰρ τὴν τοῦ σώματος ἀκαθαρσίαν, πᾶν εἴ τι ἄλλο ἔθνος μᾶλλον ἢ οἱ

auxquelles ils ne sont pas à même de porter remède. Faute de changer de linge, ils sont rongés par la vermine et tourmentés de maladies chroniques de la peau : ils périssent souvent sans être secourus, quand ils sont attaqués de maladies graves qui exigent toujours les plus grands soins ; ainsi, quand la peste règne, on voit moins de Musulmans en périr que d'Européens ; ce qu'on ne peut attribuer qu'à ce que les premiers qui croient à la fatalité, approchent sans crainte les malades, et leur portent tous les secours possibles, tandis que les Européens, glacés d'effroi à la vue d'un pestiféré, abandonnent même leurs parens et leurs amis les plus chéris à des soins étrangers et mercenaires ; or tout le monde sait combien on doit peu compter sur de pareils soins.

L'auteur fait à ce sujet, dans une note, les plus grands efforts pour venger les Turcs de l'accusation de malpropreté que leur ont intentée en général les savans Européens, qui attribuent à cette cause la fréquence de l'apparition de la peste dans l'empire Ottoman. Il tâche de prouver que ceux qui ont avancé cette opinion, se sont lourdement trompés, et qu'ils n'ont aucune idée de la Turquie ; il nous apprend que les grandes villes de ce vaste empire ne sont pas tenues moins proprement que celles de l'Europe : il ajoute que c'est à tort qu'on a considéré l'air corrompu par les vapeurs qui s'élèvent des immondices, comme une des causes qui engendrent ou aggravent ce fléau, et qui prolongent sa durée ; car quant à la malpropreté du corps, aucun peuple ne mérite moins ce

Τοῦρκοι τῆς μέμψεως ταύτης ὑπάρχουσιν ἄξιοι. Τίς γὰρ ἀγνοεῖ ὡς αὐτοὶ διὰ θρησκείαν πεντάκις τῆς ἡμέρας πρόσωπον καὶ χεῖρας καὶ πόδας νίπτουσιν; ὡς ἀεὶ μετὰ τὴν τῆς φυσικῆς ἀνάγκης ἀποπλήρωσιν ἀποπλύνονται; ὡς ἑαυτοὺς μεμιασμένους λογίζονται, καὶ σαγόνος οὔρων μέρει τινὶ τοῦ σώματος ἐπισαλαξάσης; τό γε τελευταῖον ὡς ἡ αὐτὴ θρησκεία λούεσθαι μετὰ τὸ θῦσαι τῇ Ἀφροδίτῃ, ἢ μετ' ἐξονειρωγμὸν, αὐτοῖς ἐπιτάσσει; Ἄλλως τε κἂν αἱ πόλεις αὐτῶν ἧττον καθαραί, ἢ αἱ τῶν ἄλλων Εὐρωπαϊκῶν ἐθνῶν, ὧσιν, ὃ δυσχερές ἐστιν ἀποδεῖξαι, οὐδοτιοῦν ἐκ τούτου ἕπεται, ταύτην μόνην τὴν αἰτίαν ἀρκεῖν εἰς τὴν τοῦ λοιμοῦ γέννησιν. Τίς γὰρ ἂν ὀνομάσειεν ἄλλο ἔθνος οὕτως ἐπαίνου ἄξιον, ὅσον τὸ τῶν Βαταυῶν διὰ τὴν ἄκραν τῶν οἴκων, ναῶν, ἀγυιῶν, καὶ ἱματίων καθαριότητα γέγονε; καὶ ὅμως ὁ λοιμὸς οὕτως ἐκ τοῦ πάλαι συνεχῶς ἐν τούτῳ τῷ ἔθνει συνέβη, ὥστε τινὰς ἰατροὺς, οἳ ἐκεῖ κατῴκησαν, αὐτὸν δὶς καὶ τρὶς αὖθις συμβάντα ἐν τῇ αὐτῶν ζωῇ παρατηρῆσαι. Ὅθεν ἅπασι πρόδηλον, ὅτι δὴ καὶ ἡ καθαριότης οὐδ' ὅλως ἀναιρεῖ τὴν εἰς τὸν λοιμὸν προδιατιθεῖσαν αἰτίαν.

Ἀλλ' ἔροιτο ἄν τις, ὅτῳ ποτὲ τρόπῳ ἐγένετο, ὥστε ταύτην τὴν συμφορὰν μᾶλλον ἐν Τουρκίᾳ ἢ ἀλλαχοῦ εἶναι συνεχῆ; αἴτια τούτου, ὡς μοι δοκεῖ, τὰ ἑξῆς ἐστι; πρῶτον ὅτι οὐ κατεσκευάσθη ἐν τοῖς ὅροις ταύτης τῆς ὑπερμεγέθους αὐτοκρατορίας, καὶ ἐν ταῖς παραλίαις πόλεσι, τὰ κοινῶς λαζαρέτια λεγόμενα, ἐν οἷς οἱ ἀλλογενεῖς τεσσαράκοντα ἡμέρας διαμένειν καταναγκάζονται· ὁ γὰρ λοιμὸς καθολικῶς διὰ τῶν ἐξ Αἰγύπτου καὶ Ἀραβίας εἰς Κωνσταντινούπολιν, καὶ τὰς λοιπὰς πόλεις, αἳ ἐπὶ τῇ θαλάττῃ εἰσὶν, καταγομένων

reproche que les Turcs. Ignore-t-on que, par un principe de religion, ils se lavent cinq fois le jour le visage, les mains et les pieds ? qu'ils ne manquent jamais de se laver après avoir satisfait aux besoins de la nature, et qu'ils se regardent comme immondes, lorsqu'une goutte d'urine leur est tombée sur quelque partie du corps ; qu'enfin cette même religion leur enjoint de se baigner après avoir sacrifié à Vénus, ou même à la suite d'une pollution nocturne? Mais, quand bien même leurs villes seroient tenues moins proprement que celles des autres peuples de l'Europe, ce qu'on aura de la peine à prouver, on ne sera pas fondé à en conclure que cette seule cause suffit pour engendrer la peste. Peut-on citer un peuple plus recommandable que les Hollandois pour la propreté excessive qui règne dans leurs maisons, leurs temples, leurs rues et leur manière de se vêtir ? Néanmoins, la peste a été autrefois si commune dans cette nation, que plusieurs médecins, qui y ont vécu, l'ont vue reparoître deux ou trois fois dans le courant de leur vie, d'où il est évident que la propreté n'anéantit pas la cause prédisposante de la peste.

Mais, on demandera pourquoi ce fléau est plus commun en Turquie que dans toute autre contrée ? On doit, à ce que je pense, l'attribuer aux causes suivantes, 1.° à ce qu'il n'y a pas de Lazarets établis sur les frontières, ainsi que dans les villes maritimes de ce vaste empire, où les étrangers soient obligés de faire la quarantaine ; car la peste est communément apportée à Constantinople, et dans les autres villes maritimes, par les vaisseaux qui viennent de l'Égypte

νηῶν μετακομιζόμενος, ἐκ τούτων καὶ εἰς τὴν ἤπειρον διαδίδοται· οὐ δή που οὕτως ἂν συνεχὴς ὁ λοιμὸς ἦν, εἰ τοῖς αὐτοῖς προφυλακτικοῖς ἐνταῦθα, ὡς ἐν Εὐρώπῃ, ἐχρῶντο. Ὁ γὰρ λοιμὸς οὐκέτι ἐν Χερσονήσῳ παρατηρεῖται, ἐξ οὗ αὕτη ὑπὸ τῇ τῶν Ῥώσσων ἐξουσίᾳ ἐστὶ, καί τοι πρότερον κἀνταῦθα ὁμοίως ταῖς ἄλλαις Ὀθωμανικαῖς ἐπαρχίαις, συνεχὴς ἦν. Δεύτερον αἴτιόν ἐστιν, ἡ συνεχὴς τῶν ὑγιαινόντων σὺν τοῖς κάμνουσι συνδιατριβή. Τρίτον, ἡ δημόσιος τῶν σκευῶν, οἷς οἱ τῷ λοιμῷ κατεργασθέντες ἐχρῶντο, πρᾶσις· πολλοὶ γὰρ ἁπλῆσως πρὸς τὰ χρήματα ἔχοντες, καὶ διὰ τὸ εὔωνον τῶν πιπρασκομένων δελεασθέντες, καὶ ταῦτα ὠνούμενοι, λανθάνουσι μετ' αὐτῶν καὶ τὸν λοιμὸν εἰς τὸν οἶκον εἰσάγοντες. « Κἀγὼ, » φησὶν ὁ συγγραφεὺς, » « τὸν λοιμὸν πάλαι νοσήσας, ταῖσδε ταῖς πράσεσι προσῄειν, πολλούς τε τῶν παρόντων εἶδον διφθέρας καὶ τρίβωνας καὶ χιτωνίσκους, ἃ τυχὸν οἱ ἐκ τοῦ λοιμοῦ τεθνηκότες ἐφόρουν, ὠνουμένους, καὶ ἅμα τούτοις χρωμένους. »

Τὸν μὲν ἡμέτερον συγγραφέα, ὅτι οὕτω λεπτομερῶς καὶ ἀκριβῶς περὶ τούτων διεξῆλθε, δίκαιον ἐγκωμιάζειν νομίζομεν, ἀλλ' ἅμα προσθεῖναι ἀναγκαζόμεθα αὐτὸν περὶ τῶν αἰτίων λόγον ποιήσαντα, ἃ τὸ τοὺς κάμνοντας πρὸς ὑγείαν ἀποκατασῆσαι χαλεπώτατον ἀπεργάζεται ἐν νοσοκομείοις, μὴ ἀποχρώντως τῷ κυριωτάτῳ τούτων ἐμμεῖναι· συγχωροῦμέν γε τὸν ἀέρα, ὃν ἐν ταῖσδε ταῖς ἀνιαραῖς τῶν ἀνθρωπίνων ἀσθενειῶν ὑποδοχαῖς πνέουσιν οἱ κάμνοντες, τήν τε δυσχέρειαν τοῦ δίαιταν ἁρμόττουσαν ἐπιτάξαι τοσούτῳ καμνόντων πλήθει, οὐ μόνον τῷ ἤθει τῶν

et de l'Arabie, d'où elle se communique dans le continent : certainement elle n'y seroit pas aussi fréquente, si l'on usoit des mêmes moyens préservatifs qu'en Europe, car on ne l'a pas observée dans la Crimée depuis que cette province est sous la domination de la Russie, quoiqu'elle n'y fût pas autrefois moins commune que dans les autres provinces de l'empire Ottoman ; 2.° à la communication habituelle des malades avec les personnes saines ; 3.° à la vente publique des objets qui ont servi à ceux qui sont morts de la peste; car quantité de gens avides, séduits par le vil prix de ces objets, les achètent, et introduisent ainsi imprudemment la peste avec eux dans leurs maisons. « Ayant été moi-même attaqué » de la peste, « ajoute l'auteur », j'ai autrefois » fréquenté ces ventes, j'ai vu plusieurs de ceux » qui s'y trouvoient acheter et même faire usage de » pelisses, de manteaux, de chemises, etc. qui pou- » voient avoir servi aux pestiférés ».

Nous ne pouvons qu'applaudir à ces détails; mais nous sommes en même temps forcés d'ajouter qu'il nous paroît que l'auteur, en parlant des causes qui rendent très-difficile le traitement des maladies dans les hôpitaux, n'a pas insisté suffisamment sur la plus essentielle. Nous convenons avec lui que l'air qu'on respire dans ces tristes réceptacles des infirmités humaines, que la difficulté de prescrire un régime convenable à une multitude d'indigens qui diffèrent non-seulement par la nature des maladies dont ils

νόσων ὑφ' ὧν προσβέβληνται, ἀλλὰ καὶ τῇ ἡλικίᾳ, καὶ τῷ γένει, καὶ τῇ κράσει ἀλλήλων διαφερόντων, κώλυμα μέγα τι ἐμποδίζον τῇ ἰάσει τῶν νόσων εἶναι· προσθήσω δὲ τοῦτο δεινότερον καὶ καλεπώτερον γίγνεσθαι διὰ τὴν ὑπερβολικὴν τῶν μισθωτῶν ὑπηρετῶν ἀμέλειαν, διά γε τὴν πολυχρόνιον μετὰ τῶν ἀῤῥώστων διατριβήν, τὰς τῶν ἄλλων συμφορὰς οὐδαμῶς οἰκτειρόντων, καὶ τό γε τελευταῖον, διὰ τὴν κατάχρησιν τοῦ πλείους κάμνοντας ἐπὶ μιᾶς κλίνης, ὡς πάλαι τοῦτο ἐποίουν, συσσωρεύειν. Ἀλλὰ πολλοῦ γε καὶ δεῖ ὑπὸ τούτων τῶν διαφόρων αἰτιῶν τόσον τὴν φθορὰν αὐξάνεσθαι, ὡς ὁ ἡμέτερος συγγραφεὺς ὑπέλαβε, τῇ ἀναφορᾷ τῶν ἰατρῶν Ζιμμερμάννου καὶ Ῥείλου πεποιθὼς, οἳ ἐκ δισχιλίων ἀῤῥώστων, εἰς τὸ ἐν Παρισίοις καταγώγιον Θεοῦ λεγόμενον νοσοκομεῖον εἰσιόντων, μόλις ἑξήκοντα πάλαι διασωθῆναι ἔγραψαν. Ἐκ ταύτης γε τῆς διηγήσεως ὑπερφυῶς παραδόξου οὔσης, σαφῶς ἀποδείκνυται ὡς ἀπίστως ἔχειν δεῖ πρὸς τὰς ἐπαναφορὰς περιηγητῶν τινων, οἳ ἀφροντίστως διὰ τῶν τόπων, ὧν τὰ πράγματα λέγουσι, διέρχονται· εἰ γὰρ τοῦτο ἀληθὲς ἦν, τίς ἂν τοιῷδε νοσοκομείῳ προσπελάσαι ἐτόλμησεν; ἀλλ' ἀντὶ τοῦ φεύγειν τοῦτο, ὁ λαὸς τοὔμπαλιν ἀγεληδὸν εἰς αὐτὸ προσήει, ὥς' ἀνὰ πᾶν ἔτος δισχιλίους που πρὸς τοῖς δισμυρίοις ἀῤῥώστους εἰσεδέχοντο, ἐξ ὧν βραχύ τι πλέον τοῦ πεμπτημορίου τῆς ζωῆς ἀπηλλάττοντο, ὡς διηγήσαντό τινες προσεκτικώτατοι καὶ ἀξιόπιστοι ἄνδρες, καὶ μάλιστα ὁ τοῦ συγγράμματος συγγραφεὺς, οὗ ἡ ἐπιγραφὴ Ἀστυνομία τῆς Γαλλίας, σελ. πγ' ».

Ἀλλά γε δεινῷ τοῦ κοινῇ λυσιτελοῦντος πόθῳ ἡττώμενοι διοικηταὶ, καθολικήν τινα διόρθωσιν, ἐξ εἴκοσί που ἐτῶν ἐν τῷδε τῷ νοσοκομείῳ ἐποίησαν· ἥκιστα δὴ παρὰ τούτων εὕροι ἄν τις παραλελειμμένα ὅσα τὰς αἰτίας, ἃς τὴν φθορὰν ἐπαύξειν ᾤοντο, ἐκποδὼν ποιῆσαι ἱκανὰ ἦν· δυσὶ μὲν γὰρ τρι-

sont affectés, mais par l'âge, le sexe et le tempérament, opposent de grands obstacles à la guérison; j'ajouterai même que ces obstacles sont encore aggravés par la négligence extrême de vils mercenaires, que l'habitude de soigner des malades a rendus inhumains, ainsi que par l'abus d'en accumuler plusieurs dans un même lit, comme on le faisoit autrefois; mais il s'en faut bien que toutes ces causes aient augmenté la mortalité au point que se l'est figuré notre auteur, d'après le rapport des docteurs Zimmerman et Reil, qui ont avancé que, sur deux mille malades qu'on recevoit autrefois dans l'Hôtel-Dieu de Paris, à peine en guérissoit-on soixante. Cette assertion singulière et incroyable prouve combien on doit peu compter sur les rapports que font certains voyageurs, de ce qui se passe dans des contrées qu'ils n'ont parcourues que rapidement. Si cela eût été ainsi, qui auroit osé approcher d'un pareil hôpital? Loin de le fuir, le peuple s'y rendoit au contraire en foule, au point qu'on y recevoit annuellement environ vingt-deux mille malades, sur lesquels il en mouroit un peu plus d'un cinquième, comme l'ont rapporté plusieurs observateurs attentifs, dignes de foi, entre autres l'auteur de l'ouvrage intitulé *Police de la France*, p. 83.

Des administrateurs remplis de zèle pour le bien public ont, depuis une vingtaine d'années, fait une réforme générale dans cet hôpital; ils n'ont rien négligé pour remédier aux causes qu'on jugeoit capables d'augmenter la mortalité; ils ont diminué des deux tiers le nombre des malades, ils ont fait mettre chacun

τημορίοις ὀλιγωτέρους ἀσθενεῖς παραδέχεσθαι, ἕκαστον δὲ τούτων ἐν ἰδίᾳ κατακλίνειν κλίνῃ ἐκέλευσαν· τελευταῖον ἡ καθαριότης μεγίστη νῦν ἐστι, καὶ ὅμως τὴν φθορὰν ἐλαττῶσαι οὐκ ἠδυνήθησαν, καί τοι ἐν τῷδε τῷ νοσοκομείῳ οὐδέποτε ἐπιδήμιοι νόσοι ἐμπεπτώκασιν, ἀλλ' οὐδὲ ὁ πυρετὸς αὐτὸς ὁ νοσοκομείοις ἴδιος, ὃς ἀλλαχοῦ ὀλεθριώτατός ἐστιν.

Ἀλλ' ἀντισαίεν ἄν τινες· τί πότ' ἐστι τῆσδε τῆς φθορᾶς τὸ αἴτιον; αὐτό γε πρόδηλον ἂν γένοιτο τῷ, ὅπως περὶ τὴν ὑγείαν διάκεινται οἱ συνεχῶς εἰς τόδε τὸ νοσοκομεῖον κομιζόμενοι, ἐπιμελῶς σκεπτομένῳ· μόλις γὰρ ἂν, ἐξ εἴκοσιν ἀῤῥώστων τελευτησάντων, εἷς νόσον εὐθεράπευτον νοσῶν εὑρεθήσεται. Πάμπολλοι γὰρ τούτων τῶν δυσυχῶν ἤδη εἰσὶν ὑπὸ χρονίων νόσων, ἢ ὑπὸ τῆς ἡλικίας τῷ σώματι ἐξασθενατοῦντες, ἢ φθίσει κατεχόμενοι· γυναῖκες πάρεισι καρκίνον ἐν ὑστέρᾳ ἔχουσαι, ἄνδρες ἀποπληξίᾳ ἐν ταῖς ὁδοῖς, ἢ ἐν δημοσίοις τόποις περιπεσόντες, ἐργάται τετρωμένοι, ἢ πτώσεις δεινὰς πεπτωκότες, οἷον οἰκοδόμοι, καὶ οἴκων σεγάσματα κατασκευάζοντες, ἢ ἑαυτοὺς φαρμάκῳ ἢ σιδήρῳ τοῦ ζῆν ἐξαγαγεῖν ἐπιχειρήσαντες, καὶ πολλοὶ ἄλλοι τοιοῦτοι, ὧν οἱ πλείους παραυτίκα, ἢ ὀλίγαις ὥραις ὕστερον, μετὰ τὴν εἰσδοχὴν ἀποθνήσκουσιν· εἴ τις, ὡς προσῆκόν ἐστι, πάντας τούσδε τοὺς ἄρδην ἀνελπίστους ἀῤῥώστους ἀφελὼν, τὸ κεφάλαιον τῆς ἐν τῷδε τῷ νοσοκομείῳ φθορᾶς ἐξετάσῃ, πολλοῦ γε καὶ δεῖν ταύτην μείζονα ἢ ἐν ἄλλοις νοσοκομείοις, ὡς ἔνιοι ὑπέλαβον, ὑπάρχειν εὑρήσει.

Αὕτη ποικίλη ἐστί, λόγῳ τοῦ μείζονος ἢ ἐλάττονος κωλύματος ὃ τῇ τῶν ἀσθενῶν εἰσδοχῇ οἱ ἐπισάται ἀντιτιθέασιν· ἀλλὰ δὴ ἔν τισιν ἔτεσιν ὀλιγίστη ἦν ἡ φθορὰ, ὡς περὶ τούτου ἐπείσθην ἐκ τῶν καταλόγων τῶν κατ' ἐμὴν ἐπιταγὴν γενομένων περὶ τῶν καμνόντων οὓς ἐν διαφόροις διαιρέσεσι τοῦδε τοῦ νοσοκομείου μετεχειρισάμην· παραδείγματος χάριν, κατὰ τὸ ᾳωγ'. ἔτος, ἐκ τῆς κά. ἰαννουαρίου

d'eux dans un lit particulier, enfin, la plus grande propreté y règne; néanmoins on n'a pu parvenir à diminuer la mortalité, quoiqu'on n'y voie jamais régner de maladies épidémiques, ni même la fièvre d'hôpital qui fait tant de ravage dans les autres hôpitaux.

Mais, objectera-t-on, quelle peut être la cause de cette mortalité? Il suffit, pour la reconnoître, de faire attention à la situation de ceux qu'on y amène continuellement; à peine sur vingt de ceux qui ont succombé, en trouvera-t-on un dont la maladie ait offert quelque espoir de guérison. La plupart sont des malheureux épuisés par de longues maladies ou par l'âge; des phthisiques, des femmes attaquées d'ulcère à la matrice, des gens qui ont été frappés d'apoplexie dans les rues ou dans les endroits publics, des ouvriers qui ont été blessés ou qui ont fait des chutes graves, tels que des maçons, des couvreurs, des hommes qui ont tenté de se délivrer de la vie par le poison ou par le fer, et quantité d'autres du même genre, dont un grand nombre expire en arrivant ou peu d'heures après. Si, comme il est juste, on met à part tous ces cas absolument désespérés, pour établir le degré de mortalité, on se convaincra qu'il s'en faut bien qu'elle soit, comme quelques personnes se l'imaginent, supérieure à celle des autres hôpitaux.

Elle varie selon que l'on apporte plus ou moins de difficultés à recevoir les malades. Il y a eu même des années où la mortalité a été très-foible, comme je m'en suis assuré, d'après le relevé que j'ai fait faire des malades que j'ai traités dans différens départemens de cet hôpital. Par exemple, en 1803, du 21 janvier

ἄχρι τῆς ιθ'. φευρουαρίου, ὁπότε ὑπὸ τὴν ἐμὴν ἐπίσκεψιν ἦν ἡ τῆς ἁγίας Ἰωάννας διαίρεσις, ἐκ τριῶν καὶ ὀγδοήκοντα πρὸς ταῖς ἑκατὸν γυναικῶν, δύο μόνον καὶ εἴκοσιν ἀπέθανον, ὃ δὴ ὡς ἓν πρὸς τρία καὶ εἴκοσίν ἐστι, τούτων δὲ, αἱ μὲν ὀκτὼ καὶ δέκα νόσους φύσει ἀνιάτους, αἱ δὲ λοιπαὶ νόσους ὀξείας ὅτι μάλιστα προβεβηκυίας ἐνόσουν· ἐκ δὲ τῆς κ'. φευρουαρίου ἄχρι τῆς κά. μαρτίου, ἡ φθορὰ ἔτι πολὺ ἐνδεεστέρα ἦν· ἐκ γὰρ ἑκατὸν ὀγδοήκοντα τεσσάρων, ἓξ πρὸς ταῖς δέκα ἀπέθανον, καὶ ἐκ τούτων μία μὲν ὑπὸ νόσου ὀξείας, πᾶσαι δὲ αἱ λοιπαὶ ὑπὸ νόσων χρονίων καὶ ἀνιάτων ἠνωχλοῦντο.

Ἐνταῦθα τὸν σοφὸν Λαφφορέον ἐσωτερικὸν μαθητὴν τοῦδε τοῦ νοσοκομείου, ὡς δίκαιόν ἐστιν, ἐπαινέσαι σπουδάσω, ὃς δὴ ἐξ ὅτου τόδε τὸ ἔργον αὐτῷ ἐπετράπη, οὐδέποτε, νύκτωρ καὶ μεθ' ἡμέραν, τοῖς ἐν τῇ αὐτοῦ διαιρέσει κειμένοις ἀσθενέσι προσέχων, καὶ σημειώσεις περὶ ἑκάστου ποιῶν ἐπαύσατο, καὶ φιλοκάλως τὴν τῶν νοσημάτων σύνοψιν, ἃ ἐγὼ ἐν δυσὶ καὶ εἴκοσι μησὶ μετεχειρίσθην ἐν διαφόροις διαιρέσεσι, ποιησάμενος, ἐννέα πίνακας, (1) δισχιλίους ἐννενήκοντα πέντε κάμνοντας περιέχοντας, ἐξέθετο, ἐξ ὧν δύο καὶ ἑβδομήκοντα πρὸς τοῖς τετρακοσίοις δυσὶ χὲς ἔσχον τέλος· ἀλλ' ὡς ὁ αὐτὸς παρατηρεῖ, ἐκ τούτων, οἱ μὲν τριακόσιοι ἕνδεκα νόσους χρονικὰς καὶ ἀνιάτους εἶχον, ἑξήκοντα δὲ καὶ εἷς ὀξείαις νόσοις οὕτω προβεβηκυίαις κατείχοντο, ὥστε οὐδεμίαν ἰάσεως ἐλπίδα ὑπολείπεσθαι. Πάντες οὗτοι τῇ πρώτῃ ἢ τῇ δευτέρᾳ ἡμέρᾳ τῆς ἐλεύσεως ἀπώλλυντο, ἑκατὸν δὲ μόνον οὐ παντελῶς ἀπεγνωσμένοι ἐφάνησαν. Εἰ οὖν τόνδε τὸν ἀριθμὸν πρὸς τὸν

---

(1) Τούτων τρεῖς τύποις ἐκδοὺς τῷ τέλει τῆσδε τῆς ἀπαγγελίας προσέθηκα.

au 19 février, il n'est mort dans le département de la salle Sainte Jeanne, dont j'étois chargé, que vingt-sept femmes sur cent quatre-vingt-trois, ce qui fait un sur vingt-trois, parmi lesquelles dix-huit étoient attaquées de maladies incurables de leur nature, et les autres de maladies aiguës fort avancées. Du 20 février au 21 mars, la mortalité a été encore bien moindre, car sur cent quatre-vingt-quatre, il n'en est mort que seize, dont une seule de maladie aiguë; toutes les autres avoient des maladies chroniques incurables.

Je saisis ici avec empressement l'occasion de rendre justice à M. Laffore, jeune docteur, élève interne de l'Hôtel-Dieu, qui, depuis qu'il y est admis, n'a cessé d'examiner avec le plus grand soin, nuit et jour, les malades qui sont dans son département, et de prendre des notes sur chacun d'eux. Il a bien voulu me faire le relevé de ceux que j'ai traités dans le cours de vingt deux mois, dans différens départemens. Il en a formé neuf tableaux* qui renferment deux mille quatre-vingt-quinze malades, dont quatre cent soixante et douze ont succombé; mais, comme il l'observe lui-même, sur ce nombre, trois cent onze étoient attaqués de maladies chroniques incurables, et soixante et un avoient des maladies aiguës tellement avancées, qu'elles n'offroient plus aucun espoir, ces derniers moururent tous du premier au quatrième jour de leur entrée; cent seulement ne paroissoient pas désespérés en arrivant. Par conséquent,

---

* J'en ai fait imprimer trois qui se trouvent à la fin de ce Rapport.

τῶν ἄλλων ἀῤῥώστων, τῶν εἰς τὸ ἡμέτερον νοσοκομεῖον εἰσαχθέντων συγκρίνωμεν, τὴν ἀναλογίαν ά : $\frac{\varepsilon\zeta\acute{\varepsilon}}{\rho}$ ἤ : ά· κ' : : $\frac{\iota\vartheta'}{\kappa}$ ὑπάρχουσαν ἐυρήσομεν· προσέτι τούτῳ τῷ ἀριθμῷ τῶν νοσούντων, οὓς μετά τινος ἐλπίδος οἱόντε ἦν ματαχειρισθῆναι, συμπεριελήφθησαν, καὶ οἱ νόσοις συμπεπλεγμέναις καὶ πολλάκις κρείττοσι τῶν τῆς τέχνης βοηθημάτων ληφθέντες, προσέτι καὶ οἱ ἐλθόντες μὲν ἤδη ταῖς νόσοις πάνυ συντετριμμένοι, μετὰ δὲ τὴν πέμπτην ἡμέραν τῆς εἰσελεύσεως ὑπὸ τούτων κατεργασθέντες· ἔσχατον δὲ καὶ οἱ πορρῶ γενόμενοι τῆς ἡλικίας, ἀλλὰ μικρόν τι εἰσέτι ἐῤῥωμένοι, καὶ οὐδέπω εἰς παντελῆ γε τῆς σωτηρίας ἀπόγνωσιν ἐλθόντες.

Ἐκ ταύτης οὖν τῆς κατὰ μέρος διηγήσεως, ἀποδείκνυται ὡς ἡ ἐν τοῖς πολιτικοῖς νοσοκομείοις φθορὰ, καθολικῶς ἐκ τοῦ ἤθους μάλιστα ἀναφύεται τῶν παθημάτων, ἃ οἱ εἰς ταῦτα εἰσαχθέντες πάσχουσι· διὸ καὶ αὕτη πάνυ λίαν διαφέρει, καὶ οἵατ' ἐστὶν ἐνίοτε δεινοτάτη γενέσθαι, κἂν ὅσον πλεῖστον πρὸς τὸ τὴν θεραπείαν τοῖς ἀῤῥώστοις ἐπάγειν ὁ ἰατρὸς φιλοτίμως ἔχοι. Οὕτως ὁ περικλεὴς Στόλλιος « θεραπ. μεθ. τομ. ά σελ. σιγ'. » παρετήρησεν ὅτι ὁ ἀριθμὸς τῶν ὑπὸ τῶν κακοηθῶν πυρετῶν ἐν τῷ τῆς ἁγίας Τριάδος νοσοκομείῳ τῷ ἐν Βιέννῃ ἀποθνησκόντων, πρὸς τὸν τῶν θεραπευομένων ἦν, ὡς ά. γ' $\bar{\varepsilon}$ $\frac{\iota}{\acute{\alpha}}$, ἐκ γὰρ ἑξήκοντα ὀκτὼ, ἀπέθνησκον εἷς καὶ εἴκοσιν.

Ἐν τῷ ἡμετέρῳ γε νοσοκομείῳ οὐδέποτε ἑωράκαμεν τοσαύτην φθοράν· ἀλλ' ἐνταῦθα περὶ ἐνδημίου τινὸς νόσου ὁ λόγος ἐστὶν, αὗται δὲ αἱ νόσοι ἀεὶ πρὸς τὴν θεραπείαν πολὺ μᾶλλον δυσχερεῖς, καὶ δυσανάκλητοί εἰσι τῶν σποραδικῶν, ὡς ὁ αὐτὸς περικλεὴς Γεωργιάδης ἐν τοῖς περὶ τὴν πατρίδα αὐτοῦ Φιλιππούπολιν τὴν ἐν Θράκῃ τόποις παρετήρησε· καίπερ αὕτη ἡ πόλις ἐν ὑγιεινῷ τόπῳ κεῖται, ὅμως οἱ διαλείποντες

si on compare ce nombre avec celui des autres malades reçus dans notre hôpital, on aura pour rapport $1 : \frac{2005}{100}$ ou bien : $1 : 20 :: \frac{19}{20}$; encore avons-nous compris dans le nombre des malades traités avec quelque espoir de succès, ceux qui avoient des maladies compliquées, si souvent supérieures aux ressources de l'art, ceux qui sont arrivés lorsque leurs maladies étoient fort avancées, mais qui n'ont succombé que passé le cinquième jour de leur entrée ; enfin, les vieillards qui ayant encore quelque reste de vigueur, pouvoient laisser une lueur d'espérance.

Ces détails prouvent que la mortalité qu'on observe en général dans les hôpitaux civils, dépend principalement de la nature des maladies dont sont affectés ceux qu'on y reçoit ; elle varie en conséquence beaucoup, et elle peut devenir effrayante, quelques tentatives que fasse celui qui est chargé du traitement. Ainsi l'illutre Stoll (t. 1 p. 293 de son *Ratio med.*) remarque que le nombre de malades attaqués de fièvres malignes, qui moururent dans l'hôpital de la Trinité de Vienne en 1769, fut, en proportion de ceux qui guérirent de la même fièvre, comme 1. $3 = \frac{5}{1}$, car il en mourut vingt-un sur soixante-huit.

Nous n'avons jamais eu d'exemple d'une semblable mortalité dans notre hôpital ; mais il s'agit ici d'une maladie endémique, et ces maladies sont toujours plus rebelles et plus difficiles à guérir que les sporadiques, comme M. le docteur Georgiades l'a observé aux environs de Philippopolis en Thrace (aujourd'hui la Romanie), sa patrie. Quoique cette ville soit située

πυρετοὶ ἐνδήμιοι διηνεκῶς εἰς ταύτην ἐμπίπτουσι, θέρους μεσοῦντος καὶ λήγοντος, ἐν τοῖς ἔτεσι μάλιστα, καθ' ἃ τῆς ὀρύζης ἐν τοῖς πέριξ σπειρομένης, αἱ τῶν ἐν τοῖς πεδίοις ἑλλιμναζόντων ὑδάτων ἀτμίδες τὸν ἀέρα μιαίνουσιν. Οἱ δὲ πυρετοὶ οὗτοι ταῖς ποικίλαις τῶν ἰατρῶν ἐπινοίαις καὶ τοῖς κοινῇ προσφορωτάτοις τῷ πυρετῷ ἄκεσιν ἀνίατοι· ἀλλ' ὅμως ἀπὸ ταὐτομάτου πάντως ἀφανίζονται, τῶν λιμναζόντων ὑδάτων διαῤῥυέντων, καὶ τῆς γῆς ξηρανθείσης.

Πᾶσαι αἱ τοῦδε τοῦ γένους, αἱ ἐκ τῆς ἰδιωτικῆς τῶν τόπων φύσεως τὴν ἀρχὴν ἔχουσαι νόσοι, ὡς οἱ ἡμιτριταῖοι πυρετοί, αἱ τοῦ ἥπατος φλεγμοναί, τὰ νευρικὰ πάθη, καὶ αἱ τοῖς οἰκηταῖς τῶν θερμῶν κλιμάτων ἴδιαι νόσοι, ἁπασῶν τῶν τῆς ἰατρικῆς ἐπικουριῶν κρείττονές εἰσι· διὸ πρὸς τὸ τούτων ἀπαλλαγῆναι, ἐκ τῶν χωρίων ἐν οἷς αὐταῖς προσεβλήθη τις, προθύμως ἀποδιδράσκειν ἀνάγκη. Καὶ οἱ ψυχροὶ δὲ τόποι ὡσαύτως νόσους ἐνδημίους οὐχ ἧττον δυσιάτους γεννῶσιν, οἷον καὶ τὸ ἐν Βαταυίᾳ, καὶ ἐν ταῖς παρὰ τῇ ἀρκτῴᾳ θαλάσσῃ χώραις ἔνδημον ὂν σκορβοῦτον.

Καὶ αἱ τοῦ ἔτους ὧραι κώλυμα πολλάκις τῆς θεραπείας ἀνυπέρβλητον ἡμῖν γίγνονται· τὸ φθινόπωρον τὴν φθίσιν, τὰς χοιράδας, καὶ τὸν ὕδρωπα παροξύνει, καὶ τοὺς συνεχεῖς ἀνωμάλους πυρετοὺς εἰς τριταίους ἢ τεταρταίους μεταβάλλει δυσιατωτάτους, οἳ μόνον τοῦ ἔαρος προσερχομένου εὐθεράπευτοι γίνονται· καὶ αὕτη δὲ ἡ ὥρα, καί τοι πᾶσαν τὴν φύσιν ἀναψύχουσά τε καὶ ζωοποιοῦσα, τῶν αἱμορῥαγιῶν, καὶ πολλῶν δεινῶν φλογωδῶν νοσημάτων εὔφορός ἐστι.

Ἀδύνατον ἡμῖν ἐστι τῷ συγγραφεῖ παρακολουθῆσαι ἐν ταῖς παρατηρήσεσιν, ἃς αὐτὸς ἐν τῷ ιή. καὶ ιθ'. κεφ. περὶ τῶν φαρμάκων καὶ βρωμάτων ἐν εἴδει ποιεῖ. Οὐδεὶς ἀγνοεῖ ὡς τὰ

dans un pays fort sain d'ailleurs, les fièvres intermittentes y sont communément endémiques, vers le milieu et la fin de l'été, dans les années surtout où le riz, qu'on sème dans les environs, et les vapeurs qui s'élèvent des eaux croupissantes dans les campagnes, corrompent l'atmosphère. Ces fièvres, après avoir résisté au traitement le mieux dirigé et aux fébrifuges les plus actifs, se dissipent d'elles-mêmes, lorsque les eaux croupissantes étant écoulées, le terrain s'est desséché.

Toutes les maladies de ce genre qui dépendent de la position particulière du climat, ainsi que les hémitritées, les inflammations du foie, les affections nerveuses, le tetanos, et quantité d'autres particulières aux habitans des pays chauds, éludent toutes les ressources de l'art; et il faut, pour s'en délivrer, fuir promptement les contrées où on les a gagnées. Les pays froids ont également des maladies endémiques qui ne sont pas moins rebelles, tel est le scorbut qui règne en Hollande et dans les pays du Nord, voisins de la mer.

Les saisons nous opposent encore des obstacles souvent insurmontables : l'automne aggrave la phthisie, les scrophules, et l'hydropisie; il change les fièvres continues irrégulières en tierces ou en quartes très-rebelles, qui ne guérissent qu'au printemps; mais cette dernière saison qui ranime et donne une nouvelle vie à toute la nature, favorise les hémorrhagies et quantité de maladies inflammatoires redoutables.

Il ne nous est pas possible de suivre les observations que donne l'auteur dans les chap. XVIII et XIX relativement aux médicamens et aux alimens en par-

φάρμακα μὴ δεόντως παρεσκευασμένα, ἢ ἐν τῷ πρέποντι καιρῷ μὴ διδόμενα, πολλάκις καὶ τὰς τῷ ἐξαίφνης σκοποῦντι μικρὰς φαινομένας νόσους δυσιάτους, ἢ καὶ θανατηφόρους ποιοῦσιν· ἄλλως τε καὶ ἡ κατὰ μακρὰν ἕξιν βρωμάτων τινῶν, ἢ πομάτων, μὴ ἀγαθῆς ποιότητος ὄντων, χρῆσις, κρατίστην εἰς πᾶσαν τὴν τοῦ ζώου οἰκονομίαν ἔχει δύναμιν· ταῦτα γὰρ πολλάκις δηλητήριον πέλει, ὃ δυσιάτους τε καὶ ἀνιάτους τῶν σπλάγχνων τῆς κάτω κοιλίας ἐμφράξεις ἠρέμα καὶ ἀνεπαισθήτως γεννᾷ· ὃ μάλιστα τὸ ἄπειρον πλῆθος τῶν ἀσθενειῶν ἀποδείκνυσιν, ἃς οἱ πολλοὶ τῶν τῷ οἴνῳ καὶ τοῖς πνευματώδεσι ποτοῖς κατεχρησαμένων τῇ ἡλικίᾳ προβεβηκότες πάσχουσι· μάτην γὰρ τότε τὴν βοήθειαν τῆς ἰατρικῆς ἐπικαλοῦνται. Ἀλλά γε πολλοὶ διαλείποντες ἀνώμαλοι πυρετοί, καὶ σπασμοί, καὶ μύρια τῶν ἐντέρων παθήματα, χρόνου βραχέος παρωχηκότος, μόνῃ τῇ τῶν βρωμάτων καὶ πομάτων μεταβολῇ λύονται.

Ἐν τῷ κ'. καὶ ἐσχάτῳ κεφαλαίῳ, ὁ συγγραφεὺς δικαίως δεινοτάτην τῶν πολιτειῶν φθορὰν τοὺς ἀμαθεῖς καὶ ἡμισόφους ἀποκαλεῖ. Ἀναρίθμητα γάρ, φησὶν, ἐστὶ τὰ δεινὰ, ἅπερ οἱ τὴν ἰατρικὴν μεταχειριζόμενοι ἀμαθεῖς ἀπεργάζονται· ἀντὶ τοῦ εἰς ὑγείαν τοὺς κάμνοντας ἐπαναγαγεῖν, καὶ τὸ μικρὸν τῆς δυνάμεως, ὡς ὁ μέγας φησὶ Βασίλειος, ἀφαιρούμενοι, καὶ γε τὰ κουφότατα παθήματα εἰς καλεπώτατα καὶ ἀνίατα μεταβάλλοντες· διὸ καὶ παντὶ καλῷ κἀγαθῷ καὶ φιλανθρώπῳ ἀνδρὶ τὴν ἰατρικὴν ἐπαγγελλομένῳ, ἀναγκαιότατόν ἐστι τῶν ἄλλων τῇ σπουδῇ τῇ περὶ τὴν παιδείαν διαφέρειν, προσεχῶς καὶ μετ' ἐπιμονῆς τὴν

ticulier. Personne n'ignore que les premiers étant mal préparés, ou administrés à contre-temps, rendent souvent incurables ou même mortelles des maladies légères en apparence; d'une autre part, l'usage habituel d'alimens et de boissons d'une qualité inférieure a la plus grande influence sur toute l'économie animale. Ils deviennent souvent un poison qui, à la longue, donne naissance à des embarras rebelles et même incurables des viscères du bas-ventre; comme le prouvent surtout les infirmités sans nombre dont sont attaqués à un certain âge les malheureux qui ont abusé du vin et des liqueurs spiritueuses. Ils implorent en vain alors les secours de l'art. Néanmoins, quantité de fièvres intermittentes irrégulières, de maladies convulsives, d'affections du canal intestinal et autres, se dissipent en peu de temps par le changement seul d'alimens et de boissons.

Dans le xx et dernier chapitre, l'auteur regarde avec raison les hommes dépourvus de connoissances et les demi-savans comme le fléau le plus redoutable de la société. Les maux, dit-il, que commettent les ignorans, qui pratiquent la médecine, sont incalculables. Loin de rendre la santé aux malades, il leur enlèvent le peu de force qui leur reste, comme l'observe Basile le grand, et ils changent des affections très-légères en maladies rebelles et incurables; en conséquence, tout homme honnête et ami de l'humanité qui se livre à l'art de guérir, doit nécessairement se distinguer des autres hommes par son amour pour l'étude; et sa persévérance à observer la marche de

φύσιν παρατηρεῖν, τὴν θεωρίαν δηλαδὴ τῇ πραγματείᾳ τῆς τέχνης ἑνῶσαι, παραφυλάττεσθαί τε μὴ ἑαυτὸν λαθὼν ὑπὸ τῶν ἀπατηλῶν πλασμάτων ἀπατηθῇ, καὶ μηδέποτε ἄνευ ἰσχυροτάτων ἐλέγχων τῆς ὁδοῦ, ἣν αὐτῷ οἱ πρεσβύτεροι ἔδειξαν, ἀφίσασθαι· ἀεὶ γὰρ οἱ νεωτερισμοὶ ἐπικίνδυνοι, καὶ τῷ νοσοῦντι σπανίως ὠφέλειάν τινα παρέχουσιν.

Οἱ μὲν πολλοί γε εἰκῇ προτείνουσι μόνην τὴν ἐμπειρίαν καὶ ἕξιν τῷ ἰατρῷ ἀρκεῖν· ἀλλ' οἱ μεγίστης εὐκλείας τυχόντες, καὶ περὶ τὸ τελεωτέραν ποιῆσαι τὴν ἰατρικὴν πολὺ συνενεγκόντες, τοὺς παλαιοτέρους ὑπερέβαλον μάλιστα τοῖς συγγράμμασι τῶν πάλαι σοφῶν καὶ τῶν νεωτέρων ἐμμελετῶντες. Παράδειγμα ἡμῖν ὁ Ἱπποκράτης γενέσθω· οὗτος ὁ ἱερὸς ἀνὴρ, ὃς τοσοῦτον τῇ τιμῇ προέχουσαν τὴν τέχνην ἀπέδειξεν, ἅπαντα τὰ πρὸ αὐτοῦ γεγραμμένα ἠκρίβωσε· καὶ μάλιστα αἰτίαν ἐπὶ τὸν ἰατρὸν ἐπήγαγεν εἴ τινα τῶν θεραπειῶν ἀγνοοῖ, αἳ κατὰ τῶν διαφόρων νοσημάτων προὐτέθησαν. Ἡ ἀνάγνωσις μέν τοι ἱκανωτάτη ἐστὶν ἡμῖν πολυτίμους εἰδήσεις παρέχειν, ἃς μετὰ μακρᾶς καὶ ἐπιπόνου ἐμπειρίας περικλεεῖς ἄνδρες ἐκτήσαντο· αὕτη προσέτι τῶν πάλαι ἐγνωσμένων ἡμᾶς ἀκριβέστερον ἀναμνήσει.

Οἱ τὸ ἐπίπονον τόδε γάδιον τρέξαι ὁρμῶντες, σπουδαίως ἐξετάζουσιν ὁποτέρους τῶν συγγραφέων ὁδηγοὺς ἑλέσθαι αὐτοῖς προσήκει. Ὁ σοφὸς Γεωργιάδης, ὡς αὐτὸς ὁμολογεῖ, εἰς πολλὴν ἀπορίαν καθίσταται περὶ τῆς τῶν ἐνδοξοτάτων συγγραφέων αἱρέσεως· ἐκ γὰρ τῶν τοσούτων καὶ διαφόρων συσημάτων τῶν ἀπὸ τοῦ Ἱπποκράτους, ἄχρι τοῦ νῦν προβληθέντων, οὐδὲν τέλειον, οὐδὲ πάσης καταμέμψεως ἐκτὸς ὂν, αὐτῷ φαίνεται, ὥστε ἱκανὸν

la nature, c'est-à-dire, réunir la théorie à la pratique, prendre garde de se laisser séduire par de trompeuses apparences, et d'abandonner sans de fortes raisons, la route qui lui a été tracée par les anciens; car les innovations sont toujours dangereuses, et rarement le malade en tire aucun avantage.

